Ἡ ΓΛΏΣΣΗΣ ΤῆΣ ἙΛΛΗΝΙΚῆΣ

ΘΥ͂ΡΑ

Κατὰ μέθοδον τὴν ὑπὸ τοῦ ΚΩΜΗ-
ΝΙΟΥ εὑρεθεῖσαν κατεσκευασμένη
καὶ ἀνεῳγμένη.

Hoc est

JANUA LINGVÆ GRÆCÆ,

*Secundùm methodum à DN. CO-
MENIO inventam constructa
atq; reserata*

à

L. ZACHARIA SCHNEIDERO,
Acad. Lipsiensis qvondam Prof. Publ. nunc
Reipubl. Misn. Medicô.

CUM PRIVIL. SAC. CÆS. MAJEST. ET
SERENISS. ELECT. SAXON.

LIPSIÆ,
*Sumptib. Hæredum GOTHOFREDI GROSSII
Bibliopolæ.*
Exprimebat JOHANNES ALBERTUS MINTZELIUS.

M DC XLII.




UNIVERSITÄTS-BIBLIOTHEK
HALLE
(SAALE)



LECTORI
Benevolo atq; candido
εὖ διάγειν.

STandum esse promissis, quæ præsertim sponte quis promiserit, modò ne inutilia aut perniciosa sint aliis futura, non verum minùs, quàm vetus Proverbium est. Sæpiùs id mihi, necdum immemori illius, in memoriam reduxerunt Amici, Viri sanè literatissimi doctissimiq;, aurem quasi vellicantes, ne promissis tantùm dives esse, sed & præstare vellem, quæ ad discenda faciliùs atq; rectiùs Linguæ Græcæ primordia, studiosæ juventuti me consecraturum, antea promisissem. Vestibulum intellige, atq; reseratam Linguæ illius Januam. Posteaenim quàm Vir Reverendus atq; Clarissimus, Dn. JOHANNES AMOS COMENIUS, ante duode-

cim circiter annos, Latinâ in Lingvâ id primus non modò animosè tentaverat, sed & præstiterat utrumq; feliciter; methodô tàm facili, tamq; planâ delectati non pauci, similem ut qvis, Græcâ qvoq; in Lingvâ, operam navaret, votis desiderare cœperunt ardentissimis. Quorum exspectationi qvamvis nemo rectiùs, perfectiusq;, qvàm COMENIUS ipse, satisfacere posse à plurimis putaretur haud immeritò: qvæ tamen Viri illius indefessæ sunt in juvandis promovendisq; Sapientiæ & Lingvarum studiis occupationes, eæq; gravissimæ, & concatenati labores, tale qvid vel poscere ab Eo, vel exspectare vetuerunt.

Qvod cùm mihi constaret planissimè, simulq; operam meam hâc in parte succenturiatam COMENIO ipsi probari viderem; ut laborem eum in me susciperem, facilè persvaderi mihi passus sum: accedentibus præsertim Virorum doctissimorum adhortationibus, qvibus in proposito hoc & honestissimo (uti judicabant) & utilissimo non parùm me confirmárunt.

Rem

Rem itaq; σὺν Θεῷ καὶ παλάμῃ tùm adgressus, Vestibulum Comenianum, paucorum dierum spatiô, Græcè verti, aliqvot vocabulorum usitatiorum centuriis auctum, locupletatumq́;: & monentibus postea Amicis, ut pueris Græca in Scholis trivialibus passim discentibus hâc opellâ meâ qvalicunq; consulerem, Græco-Latinum illud in publicum emisi, abhinc sexennium. Pollicitatione hâc additâ, si vitam DEUS & otium concederet, in eo versaturam esse porrò operam meam, ut Januam qvoq; Græcam ætate & Literaturâ Græcanicâ paulò provectiores habere brevi possent. Cujus promissi memoria etsi nunqvam exciderit mihi, nec fidem fallere, animo meo succurrerit unqvam: qvò minùs tamen, qvæ pollicitus eram, præstare valuerim hactenus, exulcerata temporum subsecutorum facies, turbulentusq́; Patriæ dilectissimæ status, & ex eo in me qvoq; redundantia incommoda prohibuerunt.

Cùm enim ante qvinqvennium, Serenissimi atq; Potentissimi DOMINI ELECTORIS SAXONIÆ, Domini mei gratiosis-

ſimi, indultu atq; conceſſu clementiſſimô, vacationem à Profeſſione aliisq; officiis Academicis impetrâſſem, Lipſiâq; Patriâ chariſſimâ relictâ, rebus meis ſic poſtulantibus, Miſenam me transtuliſſem; jamq; à ſeverioribus me negotiis reſpiraturum aliqvantulùm ſperarem, otiumq;, qvod nactus eſſe videbar, Muſis amœnioribus animô deſtinarem: ecce! non tantùm Praxi Medicæ, rei certè difficili, moleſtæ, atq; laborioſæ, medicatricem manum poſcentibus à me non paucis, dedere me ἀπροαιρέτως planè καὶ ἀκουσίως cogor; ſed & paulò pòſt præter exſpectationem omnium incumbente his oris novô bellorum nimbô, ſedibus amicis exturbatus, in tutiora me ſubducere loca, cum familiâ compellor. Neq; ſemel me hæc afflixit calamitas, ſed iterum iterumq; qvaſi recrudeſcens, per totum hoc qvinqvennium, vix unius anni ſtationem in Laribus meis firmam mihi meisq; conceſſit. Factum hinc eſt, ut, qvamvis voluerim maximè, promiſſioni tamen meæ ſatisfacere haud potuerim: cùm opuſculi hujus, qvantumvis mole exigui, elaboratio variorum Autorum evolutio-

tionem lectionemq́; accuratam, (quæ sine quiete & tranquillitate contingere potest nemini) requirat. Quis enim in tantis turbis, in tot tantisq́; periculis, undiq; impendentibus, amœnioribus vacare Musis quietem amantibus, præsumat? Quis extra sedes familiares, doctorum conversatione destitutus, atq; sine libris, tale quid meditari, nedum perficere se posse speret? Memoriæ namq;, etsi felicissimæ, soli credere, cùm labilis ea sit semper, tutum satis non est: sibi autem uni fidere, temerarium: quandoquidem secundùm Græcorum effata, εἷς ἀνὴρ, οὐκ ἀνὴρ, atq; εἷς οὐχ ὁρᾷ πάντα. Hæ igitur causæ, hæ remoræ, hæc impedimenta fuère, quæ promissionis vel maximè memori, promissi tamen exsolutionem differendi protelandiq́; necessitatem imposuère.

Postquàm verò abhinc biennium, aura paulò lenior atq; mitior adspirare visa est, omni abjectâ morâ, ad Januæ promissæ confectionem, postliminiò quasi me accinxi, eamq; aliquot mensium spatiô, juvante Altissimô, ad finem perductam, absolutamq́;

ut typis excuderetur, Lipsiam misi. Verùm enimverò neq; tùm, ut speraveram qvidem, editio maturata est; jam chartæ purioris defectum, jam typorum congruorum atq; elegantium penuriam, jam intervenientes rumores, timoresq; bellicos, jam alia atq; alia Bibliopolæ defuncti, Viri olim Senatorii prudentissimi atq; integerrimi (cujus ante annos aliqvot adhuc superstitis fidei eam commiseram) Viduâ atq; Heredibus, & qvidem non abs re, prætendentibus; adeò ut differri eam huc usq; necessum fuerit.

Tandem verò aliqvando (qvod Literarum Græcarum cupidæ juventuti felix, utile atq; fructuosum esse jubeat S.S. ac Individua Trinitas) in lucem prodit, typis exscripta publicis, reserata Lingvæ Græcæ Janua: tandem promissa præsto, fidemq; datam exsolvo: nullus dubitans, qvin Candidus Lector, adductas moræ causas æqvô animô ponderaturus, veniamq; mihi facilè daturus, qvin & valere hâc in parte πολυθρύλλητον illud, sat citò, si sat benè, passurus sit.

Nunc

AD LECTOREM.

Nunc, Lector benevole, de paucis adhuc videris mihi esse admonendus. I. Ne mireris, textum Januæ Comenianæ Latinum, *mutatum à me interdum esse, causam hanc habeto: Latinæ illius Januæ me non interpretem esse, sed Græcæ Lingvæ Januam reserare voluisse; ideoq; id sectandum putâsse, qvod Idioma Græcum reqvireret. Latina igitur Græcis, non Græca Latinis accommodanda fuêre. II. Qvòd Primitivis atq; Simplicibus sæpissimè posthabitis, Derivata atq; Composita adhibuerim, culpatum me irî scio à nonnullis, qvi prima Pueritiæ, vel etiam Adolescentiæ studia, in Simplicioribus occupari debere, à qvibus facilior sit futura Deductorum Compositorumq; cognitio, plenis buccis ogganniunt. Verùm enimverò hujus consilii mei causas habere videor sat graves, satq; prægnantes. Qvis enim nescit, Primitivorum non pauca partim Pöëtica esse, partim inusitata atq; obsoleta? Ea itaq; teneræ cereæq; adhuc ætati proponenda atq; inculcanda qvi putat, qvid, qvæso, postulare aliud videtur, qvàm ut hisce adsveti pueri, si ad annos per-*

venerint, aut insvavi utantur sermonis ligati cum solutô mixturâ, aut cum Evandri matre loqvantur ea, qvæ vix centesimus qvisq; intelligat? Nam,

Qvô semel est imbuta recens, servabit odorem
Testa diu.

Præterea, qvæ sub sole Lingva est, obsecro, Hemeris qvæ constat vocabulis simplicibus? Hebræam sanè vel Germanicam nostram (in qvâ utrâq; illorum usus præ cæteris freqvens esse solet) qvi objiciunt, frustrà sunt; cùm utriusq; & puritas & elegantia deducta atq; composita neqvaqvam respuant. In Latinâ autem atq; inprimis Græcâ, qvi sermonem ex solis simplicibus formandum existimat, non nisi balbutiem informabit, puritatem atq; elegantiam docebit nunqvam. III. Qvi, duplici me Parentheseos signô usum esse, mirabitur, sciat, qvæ παρενθέσεσι comprehensa sunt, alia cum proximè antecedentibus prorsùs idem significare, atq; Synonyma esse: alia verò vel ut rationem, vel ut conditionem, vel ut præcedentium explicationem &c. qvæ παρενθέ-

σεως

σεως vera, secundùm Jul. Cæsarem Scaligerum, species sunt, illis includi. Et his quidem duo semiqvadrati [ ], istis autem duo semicirculi ( ), distinctionis causâ, à me destinati sunt. IV. Tandem Indicem Græco-Latinum, procul dubio, plurimi desiderabunt. Hos verò, qvicunq; etiam sint, bonos atq; ingenuos esse universos judico; ideoq; oratos volo qvàm diligentissimè, ut Latinô intereà contenti, paululum mihi moræ indulgeant, qvod voluntati ipsorum ac desiderio satisfaciat, brevi σὺν Θεῷ habituri. Vale Lector benevole atq; candide, Januâq; hâc Græcâ, ad DEI gloriam, tuumq;, & tibi concreditorum emolumentum longè uberrimum, utere, fruere. Qvod si χάριν πολλὴν non merebuntur fortè, quæ rectè atq; utiliter hîc tradita sunt: saltem erratis (errare enim, cùm homo sim, nunqvam à me alienum putabo) atq; omissis, vel etiam non satis aptè positis, συγγνώμην dari peto.

Dab.

§(o)§

Dab: Misenæ è M. sto meo, die 24. Aprilis, Anno τῆς Χριστογονίας τῆς ἐκ Παρθένου *1642.*

L. Zacharias Schneider.



ΠΑ-

ΠΑΡΑΙΝΕΤΙΚΟ'Ν.



Υσκολίην Γλώσσης μεγάλων ἀρετῆσιν Ἀχαιῶν
Μεμφομένους πολλοὺς ἐστὶ μὲν εὑρέμεναι.
Τοὔνεκεν, ὧν θυμοὺς Ἑλληνικὰ Γράμματα τέρπει,
Παύρους ἡμείων ἐστὶ καὶ εὑρέμεναι.
Τοὔνεκεν Ἀργείων πολυποίκιλα Ῥήματ' ἴσασι
Παυροτέρους ἡμῶν ἐστὶ καὶ εὑρέμεναι.
Τοὔνεκεν εὐεπίῃ περιβεβηκότας Ἑλλάδι ἄλλων
Παυροτάτους ἡμῶν ἐστὶ καὶ εὑρέμεναι.
Ἀλλὰ τίς ἠδὲ τίνι Γλώσσης μέμφεσθαι ἐκείνης
Δυσκολίην τελέθει αἰτίη ἠδὲ δίκη;
Κεκροπιδῶν μαθέειν Γλώσσην μείζω περ ἐοῦσαν.
Οὐ μὴ ἐν ἔργοισιν δυσχερέσιν πέλεται.
Ἀτρεκέως γνῶμεν Γλώσσην Ἑλληνίδα πολλῷ
Ἐστὶ περιχειροτέρων ἤ γε Ῥωμαϊκήν.
Συγκάθεσις ταύταιν Γλώσσαιν ἀτενεστέρη ἀμφοῖν
Ἔκδηλοι λεχθὲν, μηδ' ἐᾷ ἀντιλεγέειν.
Εἰ τῶν φαινομένων χαλεπῶν τάχα πού τι μετείη,
Κεῖνο ἁλίσκεσθαι ἐμμελίης δύναται.
Εἰ τῶν φαινομένων χαλεπῶν τάχα πού τι μετείη,
Παιδευτὴς πινυτὸς ῥηΐδιον τελέσει.
Εἰ τῶν φαινομένων χαλεπῶν τάχα πού τι μετείη,
Λεξικὰ, τῶν πλῆθος, ῥηΐδιον τελέσει.
Κ' εἰ τῶν φαινομένων χαλεπῶν τάχα πού τι μετείη,
Λείψανα τῶν Βιβλίων ῥηΐδιον τελέσει.

Εὐ

Ἐν τοῖς Ἡ ΓΛΩΣΣΗΣ ΘΥΡΗ ἙΛΛΑΔΟΣ ἡ καὶ
ἀγαιὸν
Τοῦ ΚΩΜΗΝΙΑΔΕΩ ἀγχινόοιο λόγον.

Τὴν ὁ ΖΑΧΑΡΙΗΣ ΣΧΝΕΙΔΗΡΙΑΔΗΣ ἀνέῳξεν
Φῶς μάλα παντοίῃ κυδάλιμος διδαχῇ.
Τήνδε φιλέλληνες νύκτας τε καὶ ἤ ἀζα κοῦροι
Τρίψατε ὑμετέρῃς χερσὶ διηνεκέως.
Τρίψατε· Αὕτη ἔη τῶν ὀνομάτων τε καὶ ὄντων
Εὐπορίῃ ἄλλων χρηστοτέρη βιβλίων.
Τρίψατε· Οὐκ ἔστιν κενὴ ἡ τριβή, αὐτὰρ ὀφέλλει
Ὑμετέρην Γλώσσης Ἑλλάδος ἰδμοσύνην.
Τρίψατ' ἐπευξάμενοι ΣΧΝΕΙΔΗΡΩ ὄλβια πάντα,
Πλείοσιν ὑμετέρας ὠφελέειν περικοπάς.

M. Johannis Hornschuchs
Lipsiæ Prof. Publ. Facult.
Philos. Assess. & Senat. ad D.
Nicol. Pædagog. Rect.

EIDEM LECTORI
Sal.
BIBLIOPOLA.

GRæci hanc ad Januam excudendam adhibiti typi fuerunt novi, iiq; aliqvantô depresſiores. Id qvod collatorum illius exemplarium diverſitatis cauſa. Nam in aliis atq; aliis eadem vocabula aliter atq; aliter expreſſa ſæpius eſt deprehendere. In aliis enim planisſimè, in aliis minùs, in aliis minimè qvidam earundem dictionum apices atq; literæ comparent. Vocibus ergo, qvas Spiritus, Toni, ac Literæ deficiunt, Tibi, LECTOR, occurſuris, noli πάσας τῶν ἐλλείψεων iſtarum ſolius vel typothetæ vel correctoris incuriæ imputare. Qvod reliqvum eſt σφαλμάτων, hæc profectò iisdem invitis illapsa remanſerunt. Ecqvis enim eſt, qvi ubiq; Argum agere, omniáq; ita di picere qveat, ut eorum nihil prætermittat? Tuum igitur fue it, tuis ſe oculis oſtentaturas mendas, q â es humanitate, condonare ac tollere. Qvi ut DEO Opt. Max. qvidem honori, Tibi verò Proximóq; tuo commodo Januâ hâc ex animi tui ſententiâ utaris, faxit, qvi, ——— ὀυρανὸν ἕδρανον ἴσχων
Θεός τ' ἐςὶν ἅπαντ', ὅσ' ἐθέλησι, τελεῖν!

ANUA

ἈΝΕΩΓΜΕΝΗ Ἡ ΓΛΩΣΣΗΣ τῆς ἑλληνικῆς Θύρα.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ πρῶτον, ἢ εἴσοδος.

α.

Χαῖρε, ἀναγνῶστα φίλτατε.

β. Ἐρωτήσας, τί ἐστι τὸ πεπαιδευμένον εἶναι, ἀπόκρισιν ἔχε ταύτην· τὸ εἰδέναι τὰς τῶν ὄντων διαφορὰς, καὶ δύνασθαι ἰδίοις ἕκαστον ὀνόμασι χαρακτηρίζειν, καὶ ἐπικαλεῖν.

γ. Τί πρὸς τούτοις ἔτι; οὐδὲν πρὸς τούτοις πάνυγε.

δ. Πάσης δήπου παιδείας τὰ θεμέλια κατέβαλεν ὁ καταμαθὼν τὴν τῆς τε φύσεως, καὶ τῆς τέχνης ὀνοματολογίαν.

JANUA LINGUÆ GRÆCÆ RESERVATA.

CAPUT PRIMUM seu Introitus.

I.

SALVE, Lèctor amicissime.

2. Si rogas, qvid sit eruditum esse? responsi habe; Nôsse Rerum differentias, & posse unumqvodqve suo designare (insignire) & appellare nomine.

3. Qvid præterea? Nil certè qvidqvam.

4. Totius sanè eruditionis posuit fundamenta, qvi Nomenclaturam Naturæ & Artis perdidicit.

ε. Ἴσως δὲ χαλεπὸν τοῦτο;

5. Atqvi id difficile forsan.

ς. Οὐκ ἔστιν, ἀλλὰ δοκεῖ εἶναι τοῖς ἀκουσίως πράττουσι, καὶ προλήψεσιν ἑαυτοῖς δέος ἐνεργαζομένοις.

6. Non est, sed videtur esse illis, qvi inviti faciunt, aut præconceptâ opinatione seipsos terrent.

ζ. Τελευταῖον, ἐάν τι δυσχερὲς ᾖ, ἐν τῇ ἀρχῇ ἔσται.

7. Tandem, si qvid asperitatis erit, initiô erit.

η. Μῶν (πῶς οὐ) οὐ καὶ αἱ τῶν γραμμάτων γραφαὶ τέρατα ἔοικεν εἶναι θαυμαστὰ τοῖς παιδαρίοις τοῖς πρῶτον ἐπιβλέπουσιν;

8. Annon & literarum ductus puellis primo intuitu mira portenta videntur?

θ. Ἀλλὰ σπουδὴν ποιησάμενοι κατὰ μικρὸν ἐπ' αὐταῖς, παιδιὰν εἶναι αἰσθάνονται.

9. Ast ubi paululum impenderint operæ, lusum esse animadvertunt.

ι. Οὕτω γὰρ τυγχάνει πανταπασιν, ὅτι τῷ μὲν ἔξω εἴδει ἐργώδη φαίνεται·

10. Idem in omnibus evenit, ut exteriore facie operosa appareant:

ια. ἐπιχειροῦντι δὲ εἴκει, καὶ ἔνδοτα γίνεται τῇ εὐφυΐᾳ.

11. Aggredienti verò cedant, & se subdant ingenio.

ιβ. Ὁ γὰρ ὢν φιλομαθής, πολυμαθὴς ἔσται, καὶ πανδεχής.

12. Discendi namq; cupidus, multa discet, capietq; omnia.

Ἄγε δὴ τοίνυν, ὅστις ἂν εἴης, ἔλπιζε (θάρσει) καὶ μὴ ἀπογίνωσκε ἑαυτοῦ.

13. Agedum itaq; qvisqvis es, ſpera,(cõfide)nec deſpera de te ipſo.

ιδ. Ἰδοὺ, βιβλάριον τοῦτο βραχύ.

14. En, exiguum hunc libellum.

ιε. Ὅμως δὲ ἐνδείξω σοὶ ἐν αὐτῷ, [ἄνευ ἀλαζονείας εἰπεῖν,] ὅλον τὸν κόσμον, καὶ γλῶσσαν τὴν ἑλληνικὴν ὡς ἐν συντομίᾳ.

15. In eo tamen, [qvod ſine jactantiâ dico] universũ mundum, Lingvámqve Græcam, velut in breviario oſtendam.

ις. Πείρασον [δέομαί σου] καὶ ἀνέλιξον, καὶ ἐκμάθησαι ὀλίγα ταῦτα σελίδια,

16. Tenta [qvæſo], & evolve, & ediſce paucas has pagellas!

ιζ. οὗπερ γεγονότος, ἐξωμματῶσθαί σε εἰς πάσας διατριβὰς ἐλευθερίους, ὄντως εὑρήσεις.

17. Qvô factô, oculatum te ad omnia humanitatis ſtudia reipsâ comperies.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ δεύτερον.

CAPUT SECUNDUM.

ΠΕΡΙ ΓΕΝΕΣΕΩΣ, ΚΑΙ ΚΤΙΣΕΩΣ τοῦ κόσμου.

DE ORTU ET CREATIONE Mundi.

ιη. Ἐξ οὐδενὸς ἔκτισεν ὁ θεὸς πάντα.

18. Deus omnia creavit ex nihilo.

ιθ. Ἐν ἀρχῇ γὰρ ἐξεπέτασε (παρεξέτεινε) διάστημα λίαν ἀχανὲς, ὅπου οὐρανὸς, καὶ γῆ καθίστανται.

19. Principio enim expandit (extendit) vastissimum spatium, ubi cœlum & terra existunt.

κ. Καὶ ἀνεπλήρωσεν αὐτὸ δνόφου τινὸς σκοτεινοῦ, καὶ ἀμόρφου.

20. Et replevit id tenebricosâ qvâdam, & informi caligine.

κα. ἐξ οὗ, ὡς ὕλης, ἔπλασε τὰ κτίσματα σωματικὰ, διαφέροντα ταῖς μορφαῖς, καὶ ἐνδεδυμένα συμβεβηκότα ποικίλα. καθ᾽ ὃ ἑκάστου ἰδέαν ἐν αὐτῷ συναλήφει.

21. Ex qvâ, tanqvam materiâ, figuravit creaturas corporeas, distinctas formis, & vestitas accidentibus variis; prout cujusq; ideam intra se conceperat.

κβ Καὶ ἐνεφύτευσεν ἑκάστῳ τὴν φύσιν αὐτοῦ τοῦτ᾽ ἐστὶ, τὴν δύναμιν τοῦ ἐπιτηρήσειν ἀφωρισμένον τόπον, καὶ τρόπον, καὶ γένος αὐτοῦ.

22. Implantavitq; cuiq; naturam suam, id est, vim observandi assignatum locum, & modum, genúsqve suum.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ τρίτον.

CAPUT TERTIUM.

ΠΕΡΙ ΤΩΝ ΣΤΟΙΧΕΙΩΝ.

DE ELEMENTIS.

κγ Πρὸ πάντων δὲ τὸ χάος τὸ συγκεχυμέ-

23. Ante omnia verò confusum istud

Cha-

νον, κατὰ τὸ μεῖζον, καὶ τὸ ἔλαττον τῆς τε πυκνότητος, καὶ τῆς ἀραιότητος διεχώρισε, καὶ ἀποδιώρισεν εἰς εἴδη τέσσαρα.

Chaos, juxta densitatis & raritatis gradus, in qvatuor species separavit & segregavit.

κδ. Καὶ ἓν μὲν αὐτῶν μέρος, λεπτότατον καὶ λεπτομερέστατον, ἐποίησε φωτεινὸν, καὶ θερμὸν, τὸ πῦρ, ἢ τὸ φῶς προσκαλεσάμενος.

24. Et unam qvidem eorum partem, tenuissimam subtilissimamq; lucidam fecit & calidam, appellavitq; Ignem seu Lucem.

κε. Ἕτερον δὲ, λεπτὸν μὲν καὶ αὐτὸ, διαφανὲς δὲ, καὶ χλιαρὸν, ὠνόμασε τὸν Ἀέρα.

25. Aliam verò, & ipsam tenuē qvidem, sed pellucidam & tepidam, dixit Aërem.

κς. Τρίτον δὲ τὸ μόριον, ῥυτὸν καὶ ψυχρὸν γέγονε, τὸ ὕδωρ.

26. Tertia demùm portio, fluida & frigida, fuit Aqva.

κζ. Ὑφ᾽ ᾧ ὑπόστασις ἔμεινε παχεῖα, ὁ πηλὸς ἢ ἡ γῆ.

27. Sub qvâ mansit sedimentum crassum, Limus, seu Terra.

κη. Καὶ ταῦτα σώματά ἐστι τὰ ἁπλᾶ, ὧν τὰ σύνθετα, ἢ τὰ μικτὰ ἐξανίσταται.

28. Atq; hæc sunt simplicia corpora, ex qvibus composita vel mixta exsurgunt.

κθ. Πάντα γὰρ τὰ λοιπὰ συνίσταται ἐκ τούτων.

29. Omnia enim reliqva ex his constant.

λ. Ἐπειδήπερ ἐξ αὐτῶν γίνεται, αὐτοῖς τρέφεται, καὶ φθειρόμενα, εἰς αὐτὰ ἀναλύεται.

30. Qvippe ex iis generantur, iis nutriuntur, in eadem, dum corrumpuntur, resolvuntur.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ τέταρτον.

ΠΕΡΙ ΤΟΥ ΣΤΕΡΕΩΜΑΤΟΣ (τοῦ οὐρανοῦ.)

CAPUT QVARTUM.

DE FIRMAMENTO (Cœli.)

λα. Ἔστι τὰ ἄστρα, ὡσεὶ ἀνακρεμάμεναι εἰς τὸν αἰθέρα λαμπάδες, ἵνα ἀλήκτως (νωλεμέως) κύκλῳ περιστρεφόμενα, τῷ μὲν φωτὶ αὐτῶν καταλάμπῃ (φωτίζῃ) τὸ σκότος, τῇ δὲ κυκλοφορίᾳ τὰς τῶν ὡρῶν ἀλλαγὰς διαμετρῇ.

31. Astra sunt, ceu lampades in æthere suspensæ, ut indesinéter circumcircâ rotatæ, lumine suô tenebras illuminent, cursu autẽ circulari temporum vices dimetiantur.

λβ. Ἑπτὰ πλανῆταί εἰσιν, ἐν τῷ κύκλῳ αὐτοῦ ἕκαστος.

32. Planetæ sunt septem, qvisq; in suo Orbe.

λγ. Ἡ μὲν σελήνη, κατωτάτη οὖσα, καθ' ὅ τὸ μέσον αὐτῆς παρέχει ἡμῖν φωτεινὸν, αὐξανομένη, καὶ φθίνουσα, ὅτε

33. Luna qvidem, qvæ est infima, prout nobis illustrem sui medietatem exhibet, incrementa & decremen-

μὲν ἄφαντος (ἀφανὴς) γίνεται, ὁτὲ δὲ μηνοειδὴς, ἢ διχότομος, ἢ ἀμφίκυρτος, ἢ πανσέληνος φαίνεται, τῇ ἀναβολῇ αὐτῆς τοὺς μῆνας ποιοῦσα.

menta patitur, & jam disparet, jam falcata, vel dimidiata, vel gibbosa, vel plena apparet, retardatione suâ Menses efficiens.

λδ. Ὁ δ' ἥλιος ἀκτινοβολῶν ἀπὸ ἀνατολῶν διὰ μεσημβρίας, ἕως δυσμῶν ἀνελιττόμενος, τῇ ἀνελίξει αὐτοῦ τὰς ἡμέρας περιορίζει.

34. Sol radians verò ab oriente, (*ortu*) per meridiem, in occidentem (*occasum*) revolutus, revolutione suâ dies definit.

λε. Αὐτὸν μὲν ἀνατέλλοντα προάγει ἡ ἕως, καὶ ὁ ὄρθρος ἅμα ἐλλαμπούσῃ τῇ ἡμέρᾳ, καὶ τῷ φωτὶ γινομένῳ.

35. Orientem eum præcedit aurora, & diluculum, simul ac diescit & lucescit.

λς. Δύσαντι δ' αὐτοῦ ἡ δείλη ἕπεται (ὁμαρτεῖ) ἡ ὀψία ἑσπέρας γενομένης καὶ καταληψομένης κύκλος.

36. Occidentem seqvitur crepusculum, cùm vesperascit & noctescit.

λζ. Καὶ ἀναβαίνων μὲν ἐπὶ στιγμὴν τὴν κορυφαίαν τὸ ἔαρ, καταβαίνων δ' αὖ, τὴν ὀπώραν ποιεῖ· καὶ ἀμφοτέρωθι τὴν ἰσημερίαν.

37. Adscendens ad Zenith, facit Ver, rursúmqve descendens, Autumnum, & utrobiq; Æqvinoctium.

λη. Κατώτατος ὢν ἥ-

38. Imus fert Bru-

μέραν τὴν βραχίστην φέρει, ἀρχὴν τοῦ χειμῶνος, ἀνώτατος δὲ μετὰ τροπῆς τοῦ θέρους ἄρχεται· ὅπου ὁ Σείριος (ὁ Κύων) καύσωνα ἐγείρει.

mam, Hiemis principium. Summus cum Solstitio, Æstatem inchoat (*orditur:*) Ubi Sirius (*Canicula*) excitat æstum.

λθ. Ὁ μὲν Ἑρμῆς περιοδεύει αὐτὸν, ἐν τῷ ἐπικύκλῳ αὐτοῦ, θᾶττον ἡμίσεως ἐνιαυτοῦ. ἡ δὲ Ἀφροδίτη ἐπίχαρις, τῆς τριημιετίας.

39. Mercurius eum in epycyclo suo circuit, citiùs qvàm semiannô: venusta Venus sesqviannô.

μ. Ταύτην πρωῒ μὲν Φωσφόρον, ὀψὲ (ἑσπέρας) δὲ, ἕσπερον καλοῦσι.

40. Hanc manè Luciferum (*Phosphorum*) vesperi Hesperum (vesperuginem) vocant.

μα. Καὶ ὁ μὲν πυρόεις τὸ σέλας Ἄρης, διατρέχει (ἐπαλάται) σχεδὸν τὴν περίοδον αὐτοῦ, ἐν διετίᾳ· ὁ δὲ Ζεὺς ἀγλαὸς, ἔτεσι δώδεκα. ὁ δὲ Κρόνος κρυερὸς μικροῦ ἔννοις τριάκοντα. Καὶ παρὰ τούτων αἱ τῆς ἑβδομάδος ἡμέραι τὰς αὐτῶν ὀνομασίας ἐκληρονόμησαν. ἡμέρα ἡλίου (κυριακὴ καὶ

41. Mars ignitus jubare, periodũ suam bienniô fermè percurrit (pervagatur): splendidus Jupiter annis duodecim: gelidus Saturnus penè triginta. Et ab his dies hebdomadis noméclationes suas sortiti sunt; Dies Solis (Dominicus, ca & primus,) dies

πρώτη) ἡμέρα σελήνης (δευτέρα) ἡμέρα Ἄρεως (τρίτη) ἡμέρα Ἑρμοῦ (τετάρτη) ἡμέρα Διὸς (πέμπτη) ἡμέρα Ἀφροδίτης (ἕκτη) ἡμέρα Κρόνου (ἑβδόμη.)

μβ. Αἱ ἐκλείψεις, καὶ ἐπισκοτήσεις τῶν φωστήρων γίνονται, ὑπὸ τῆς τοῦ τρίτου ἀντιφράξεως, καὶ τοῦ ἐπισκιασμοῦ.

μγ. Οἱ ἀστέρες οἱ ἐνδεδεμένοι σφαίρᾳ τῇ ὀγδόῃ, συμπροϊέναι μὲν ὁμαλῶς, ἀνωμάλως δὲ στίλβειν, καὶ ἀπαυγάζειν δοκοῦσι.

dies Lunæ (ſecundus,) dies Martis, (tertius,) dies Mercurii, (qvartus,) dies Jovis, (qvintus,) dies Veneris, (ſextus,) dies Saturni, (ſeptimus.)

42. Eclipſes & *obſcurationes* Luminariũ fiunt propter interpoſitionem tertii, & obumbrationem.

43. Stellæ fixæ cum octavâ ſphærâ æqvaliter progredi, ſed inæqvaliter ſcintillare, & coruſcare, videntur.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ πέμπτον.

ΠΕΡΙ ΤΟΥ ΠΥΡΟΣ.

μδ. Ὁ ἐμπρησμὸς ἐξ οὑτινοσοῦν σπινθῆρος γίνεται, εἰ περιορᾷς.

με. Πᾶν γὰρ πυρὸς δεκτικὸν, πρῶτον μὲν

CAPUT QVINTUM.

DE IGNE.

44. Incendium ex qvavis ſcintillâ, ſi permittis, oritur.

45. Nam qvicqvid ignem concipit, id pri-

σπινθηρίζει· εἶτα δὲ δαίεται· μετέπειτα καίεται, καὶ φλέγεται· τὸ δὲ τελευταῖον καταπεκαυμένον εἰς μαρίλην (αἰθάλην) καὶ τέφραν καθίσταται· αἰθαλοῦται, καὶ τεφροῦται)

mùm gliſcit: dein ardet: tùm flagrat, & flammat: poſtremò crematum redigitur in favillas, & cineres.

μς. Ξύλον, αἰθόμενον μὲν, ψωλὸς, ἀποσβεννύμενον δὲ δαλὸς λέγεται· τὸ δὲ μόριον αὐτοῦ, ἄνθραξ, καὶ διαλινθαλέον ἔτι ὄν, ἄνθραξ ἡμμένος.

46. Lignum ardens, Torris appellatur: extinctum, Titio: particula ejus Carbo; & qvamdiu candet, pruna.

μζ. Καπνὸς ὁ μὲν φλέγων, φλόξ ἐστιν· ὁ δ' ἐνεχόμενος τῇ καπνοδόχῃ (τῷ καπνοδοχείῳ) ἀσβόλη. (ἄσβολος, λιγνύς.)

47. Fumus ardens, flamma eſt: camino adhærens, fuligo.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ ἕκτον.

ΠΕΡΙ ΤΩΝ ΜΕΤΕΩΡΩΝ.

CAPUT SEXTUM.

DE METEORIS.

μη. Ατμίδες αἱ ὑδατώδεις, διηνεκῶς ἄνω φέρονται.

48. Vapores aqvoſi perpetuò ſurſum feruntur.

μθ. Ἐξ ὧν συνισταμένων καὶ πεπαχυμμένων νέφος γίνεται· τοῦ εἰς ὕδωρ συγκρίσεως περίττωμα, ἡ ὁμίχλη ἐστί.

49. Ex qvibus concretis atq; densatis fit nubes: cujus in aqvam concretionis superfluitas, nebula est.

ν. Τῆς δὲ νεφέλης κάτω ῥεούσης, ὕει, ἢ νίφει, ἢ χαλαζοβολεῖ.

50 Nube autem deorsū fluente pluit, aut ningit, aut grandinat.

να. Ὁ μὲν ὑετὸς σχολῇ, κατὰ μικρὸν, καὶ κατὰ σταγόνα καταλείβεται. ὁ δ' Ὄμβρος βύζην, καὶ ἀθρόως· ἡ δ' ὀμβρία αἴγδην τε, καὶ ῥύδην.

51. Pluvia destillat lentè, paulatim, & guttatim: Imber densè, & confertim: Nimbus impetuosè, & cum strepitu.

νβ. Αὕτη ὅταν μὲν μεταξὺ τοῦ καταστάζειν παγῇ, χάλαζα γίγνεται· ὅταν δὲ ἐκθερμήσῃ ἄγαν, μίλτος, ἢ καυθμός.

52. Hic, si inter destillandum gelascit, fit Grando: si incalescit nimiùm, Uredo seu Rubigo.

νγ. ἡ μὲν πάχνη, δρόσος ἐστὶ παγεῖσα, ὁ δὲ σταλαγμὸς πεπηγμένος, σταγὼν χειμῶσα.

53. Pruina est congelatus Ros: Itiria, stilla rigens.

νδ. Αἱ χιόνες τὸ λήιον ἐπισκέπουσαι συμπυκάζουσιν, ὥστε μὴ ῥιγοῦν αὐτὸ ὑπὸ τοῦ ψύχους (κρύους) καὶ πηγετοῦ (τῆς πηγάδος, τοῦ κρυστάλλου) ὅταν κρυσταίνηται.

54. Nives segetem tegentes operiunt, ne à gelu, vel glacie, qvando glaciatur, algeat.

νε. Αὖρα μὲν ἁπαλὴ (μαψαύρα) πνέουσα, ἀναψύχει ἡμᾶς· ὁ δ' ἄνεμος διωλύγιος (δεινὸς) ἀελλόμενος, θύωσει (σείει) καταβάλλει καὶ ἐρείπει ἅπαντα, ἑκαστοχόσε στρέφεται.

55. Aura lenis cùm ſpirat, focillat nos: ventus vehemens cùm flat, qvatit, proſternit, & proterit, qvoqvò ſe vertit.

νς. Τῶν ἀνέμων (ἀημάτων) οἱ μέν εἰσιν εὐθύπνοοι ὥσπερ ὁ ἀπηλιώτης (ὁ ἀνατολικὸς) ὁ Νότος (ὁ μεσημβρινὸς) ὁ ζέφυρος (ὁ δυτικὸς) καὶ ὁ ἀπαρκτίας. (ὁ Βορέας, βόρειος, ὁ ἀρκτικὸς) οἱ δ' ἀνακαμψίπνοοι, οἷον ὁ Καικίας μὲν, καὶ ὁ Εὖρος, ἀπ' ἀνατολῆς· ὁ δ' εὐρόνοτος, (ὁ Φοινικίας) καὶ ὁ λιβόνοτος (λιβοφοῖνιξ) ἀπὸ μεσημβρίας· ὁ δ' ἀργέστης (ὁ ὀλυμπίας, ὁ Ἰάπυξ) καὶ ὁ λίψ, ἀπὸ δύσεως· ὁ δὲ μέσης, καὶ ὁ θρασκίας ἀπ' ἄρκτου.

56. Ventorum alii Cardinales ſunt, ut, Subſolanus (*Orientalis*), Auſter (*ſeu Notus, Meridionalis, Auſtrinus*) Favonius ſive Zephyrus (*Occidentalis*), Aqvilo (*Boreas, Septentrionalis*;) Alii Collaterales, ut Cæcias, & Eurus (*Vulturnus*) ab ortu: Euronotus (*Phœnicias*) & Libonotus (*Libophœnix*) à meridie. Argeſtes (*olympias, Japyx*) & Libs (*Aphricus*) ab occaſu: Meſes, & Thraſcias à ſeptentrione.

νζ. Ὁ δῖνος (ἡ Λαί-

57. Turbo, & Circius

λαψ, ὁ στρόβιλος) καὶ ὁ τυφων, δινοῦνται, καὶ τῇ κυκλῳ κινήσει στρέφουσι, καὶ ἀναφέρουσιν, ὃ ἂν προσπέσωσι, βιαζόμενον.

cius in gyrum ſe circũagunt, & cuicunq; ingruunt, id circulari motu impulſum torqvent, ac ſurſum ferunt.

νη Αἱ ἀναθυμιάσεις θειώδεις, ἐμπυριζόμεναι ἐν τοῖς Νέφεσι, καὶ ἐκκρινόμεναι, τὰς ἀστραπὰς καὶ τὰ χάσματα ἐκδιδοῦσι.

58. Exhalationes ſulphureæ incenſæ in nubibus, & excretæ, Fulgura (Fulgetra) & Chaſmata edunt.

νθ Καὶ τότε ἡ τῆς τε θερμότητος, καὶ της ψυχρότητος μάχη τὰς βροντὰς παρίστησι μετὰ βρόμου καταπληκτικοῦ.

59. Et tùm caloris atq; frigoris pugna Tonitrua ciet, cum fragore terribili.

ξ ἡ δ' ἐκθλιβομένη ἔνθεν καὶ διεξάττουσα φλόξ, Κεραυνὸς καλεῖται.

60. Eliſa inde, & emicans flamma, fulmen nuncupatur.

ξα. Ὅσπερ, εἴτ' ἐπικάων, εἴτ' οὐκ ἐπικάων, εἴτε δύων, εἴτε πάλασσων, ἐν μιᾷ καιροῦ ῥοπῇ διασκορπίζεται, καὶ ὅτι ἂν ἀπ' αὐτοῦ πεπληγμένον εἴη, συμπίπτει.

61. Qvod, ſive ſit urens, ſive non urens, ſive penetrans, ſive diſcutiens, uno temporis momentô ſe diſſipat, & qvicqvid eo ictum fuerit, corruit.

ξβ Ἀστράπτοντος τοῦ θεοῦ, καὶ βροντῶντος,

62. Cùm Deus fulgurat, tonat, fulmi-

καὶ κεραυνοῦντος, τίς οὕτως ἀδεὴς ἐστιν, ὃς μὴ θαμβήσει ἐμβεβροντημένος;

minat, qvis tàm impavidus eſt, qvi non attonitus paveſcat?

ξγ. Κομήτης οὐδεὶς ἔλαμψεν οὐδέποτε, ὅστις οὐκ ἀκαρπίαν, ἢ νόσον τῇ γῇ ἐπιδήμιον ἀνεμόρξεν.

63. Nullus cometa fulſit unqvam, qvin ſterilitatem aut infectionem terræ inuſſerit.

ξδ. Ἡ ἶρις, καὶ ἡ ἅλως, ἡ μὲν ἠώα (πρωΐα) ὥρας τῆς συννεφοῦς (τῆς συννεφείας) ἡ δ᾽ ἐφέσπερος (ὀψία) τῆς εὐδίου (τῆς εὐδίας) σημεῖόν ἐστι.

64. Iris & Halo matutina qvidem, nubiloſæ, veſpertina autem, ſerenæ tempeſtatis (*ſudi*) ſignum eſt.

ΚΕΦΑ'ΛΑΙΟΝ ΤΟ' ἕβδομον.

ΠΕΡΙ' ΤΩ͂Ν ὙΔΑ'ΤΩΝ.

CAPUT SEPTIMUM.

DE AQVIS.

ξε. Ἐκ τῶν ναμάτων (λιβάδων) πηγαζόμενοι (ἀναβλύζοντες) σκαρίζουσιν οἱ κροῦνοι (αἱ κρῆναι, αἱ πηγαὶ, οἱ πίδακες) ἐξ ὧν οἱ ῥύακες ῥέουσιν.

65. E laticibus ſcatentes (ſcaturientes) ſaliunt fontes, unde Rivi manant.

66. Ex

ξϛ. Ἐκ τούτων συλλελεγμένοι οἱ ποταμοὶ, ἐντὸς τῶν ὄχθων ἀποτρέχουσιν.

66. Ex his collecta Flumina jugiter intra ripas suas decurrunt.

ξζ. Ἀλλὰ μὴν, εἴ πῃ ἐκροὴν (ἔκρυσιν) καὶ διόδον οὐκ ἔχουσιν, οἰδαίνουσι, καὶ εἰς λίμνας ἐπικίδνανται.

67. Ast sicubi profluviô & decursu carent, tument, & in stagna se diffundunt.

ξη. Τὰ τίφη (ἕλη) ἀναβλύσεις εἰσιν, ὑστερήσαντες ῥοῆς.

68. Paludes sunt scaturigines fluxu carentes.

(ξθ) Αἱ χαράδραι (οἱ χειμάῤῥοοι) ὕδατά εἰσιν ἐπόμβρια, ἁρπαλέως καταῤῥέοντα (λαβρέοντα) ἐξ ὧν ἐκκυμάνσεις, καὶ κατακλυσμοὶ γίνονται.

69. Torrentes sunt aqvæ pluviales rapidè defluentes: à qvibus fiunt exundationes, & diluvia.

ο Τὸ ὕδωρ ὅπου μὲν νάει, ῥεῦμα, ὅπου δὲ δινεῖται Δίνην καὶ βέμβικα, ὅπου δὲ καταπίνεται, βάραθρον ὅπου δ' ἄνευ βυθοῦ (ἄβυθον) ἐστιν, ἄβυσσον καλεῖτω.

70. Aqvam, ubi fluit, Fluentum, ubi gyratur, Gurgitem & Vorticem, ubi absorbetur, voraginem (*barathrum*) ubi expers fundi est, Abyssum dicito.

οα. Εἴ τι ἐμβάλλεις εἰς αὐτὸ, ἀναδύει, καὶ ἀ-

71. Si qvid ei mergis, emergit atq; superna-

γακολυμβᾷ (ἐπιπολάζει) ἀλλὰ θολοῦσθαι τὸ ἀγλαόν, τί διαφέρει;

οβ. Πομφόλυξ ἐκ ῥανίδος γίνεται σταζούσης.

ογ. ἡ θάλασσα [καίτοι πάντες ποταμοὶ εἰς αὐτὴν εἰσβάλλουσι, καὶ τελευτῶσιν] ἁλμυρά ἐστιν, ἅλμης δίκην.

οδ. Ὅπου περαίνει τὴν γῆν, κόλποι, καὶ ἀκρωτήρια, καὶ ἰσθμοί εἰσι.

οε. Τὰ ὕδατα αὐτῆς, διὰ τὴν ἔσω πλήμμην (πλημμύραν) ἀδιερεύνητον, ἐντὸς ἓξ ὡρῶν πλημμυρεῖ ἐπὶ τὰς ἀκτὰς (τοὺς αἰγιαλοὺς) καὶ ἐντὸς ἄλλων ἓξ ὡρῶν, ἀμπίνεται πάλιν καὶ οὕτως ἀμπώτεις τε, καὶ ἄρσεις κυμάτων γίνονται ἀντανακοπὴν ἔχουσαι, μετὰ ῥαθάγου κρυεροῦ: μάλιστα δ' ἐν τοῖς πορθμοῖς.

ος. Ἐν πέζῃ τῇ βορείῳ Ὠκεανός ἐστι παγετώδης (κρυσταλλώδης) ὑπερβόρεος καλούμενος.

natat: ſed claram turbari, qvid refert?

72. Bulla fit à ſtillante Gutta.

73. Mare, [etſi omnes in illud fluvii influunt, & deſinunt,] ſalſum eſt, muriæ inſtar.

74. Ubi Tellurem terminat, Sinus & promonto ia, & iſthmi ſunt.

55. Undæ ejus, ob intraneam exæſtuationem imperſcrutabilem, ſex horis ad litora exundant, horisq; ſex aliis reſorbêtur: atq; ita æſtus, undarúmq; ſublationes fiunt reciprocæ, cum fluctuum ſonitu horrendô: maximè autem iu fretis.

76. In boreali plagâ Oceanus glacialis eſt, qvi hyperboreus vocatur.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ ὄγδοον.

CAPUT OCTAVUM.

ΠΕΡΙ ΤΗΣ ΓΗΣ.

DE TERRA.

οζ. Τὸ τῆς γῆς ἐπίπεδον, ἄλλῃ μὲν ὑγρὸν, πλαδῶδες (πλαδερον) ὑδρηλὸν καὶ διερόν· ἄλλῃ ἢ ξηρὸν, σκελετὸν, καὶ πετρῶδες.

77. Terræ ſuperficies alicubi humida, uliginoſa, uda, & uvida, alicubi ſicca, arida, & petroſa.

οη. Καὶ ὅπου μὲν πεδιὰς (πεδίον, ὁμαλότης) ὅπου δ᾽ ὄρη, καὶ ἄγκη, καὶ αὐλῶνες (κοιλάδες) ὅπου ἢ πέτραι, θρωσμοὶ, χθαμαλοὶ τόποι, καταπτα (σάρματα) ἄντρα, καὶ τρῶγλαι.

78. Nonnullibi planities, alibi montes & valles, ac convalles, petræ, tumuli & depreſſa (loca,) Hiatus, Antra & Speluncæ conſpiciuntur.

οθ. Οἱ βουνοὶ καὶ οἱ λόφοι (γεώλοφοι) τοῖς μὲν ἐπὶ πρῶνα ἰοῦσιν ἀνωφερεῖς εἰσι, τοῖς δ᾽ ὀπίσω κατιοῦσι, κατωφερεῖς.

79. Colles & Clivi, cacumen versùs euntibus, acclives ſunt, declives retrò deſcendentibus.

π. Οἱ σεισμοὶ ἀπὸ πνευμάτων γίνονται τῶν ὑπογαίων (ὑπογείων) ὧν ἐξαϊσσόντων (ἐξορμόντων) συνιζήσεις γίνονται.

80. Terræ motus à flatibus fiunt ſubterraneis: qvibus cum impetu erumpentibus Labes fiunt.

ϖα. ἡ βῶλος τετριμμένη μὲν, καὶ ἐψαθυρωμένη, Κόνις ἐστί· βεβρεγμένη δὲ, πηλός.

81. Gleba trita, atq; friata, Pulvis eſt: diluta, Lutum.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ ἔνvατον.

CAPUT NONUM.

ΠΕΡΙ ΤΩΝ ΛΙΘΩΝ.

DE LAPIDIBUS.

ϖβ. Λᾶς τεθρυμμένος, ψάμμος (ἄμμος) ἐστίν· ἥπερ παχυλωτέρα τυχοῦσα, σπιλὰς, καὶ τρόχμαλος ὀνομάζεται.

82. Lapis comminutus Arena eſt, qvæ ſi craſſior, Sabulum, & Glarea vocatur.

ϖγ. Οἱ πέτροι χαμαὶ κεῖνται [εἴτ᾽ ἐξέχουσιν, εἴτε παραλανθάνουσιν,] αἱ δὲ πέτραι ὑπερέχουσι, καὶ εἰς ὕψος ἐξανίστανται.

83. Saxa humi jacent, (ſive extant, ſive deliteſcunt) Cautes eminent, & in altum exſurgunt.

ϖδ. Ψῆφος εἰς πέδιλον εἰσπεσοῦσα, εἰ μὴ ἐξαιρεῖται, θλίβει.

84. Scrupus calceo illapſus, nî eximatur, urget.

ϖε. Τῇ μὲν ἀκόνῃ θήγομεν τὰ ἀμβλέα, τῷ δὲ πυρίτῃ τὸ πῦρ ἐκκρούομεν, τῇ δὲ βασάνῳ (λυδίῳ λίθῳ) τὰ μέταλλα δοκιμάζομεν.

85. Cote acuimus obtuſa, ſilice elidimus ignem, Lydio (lapide) metalla probamus.

ϖς. Ὁ πῶρος, ψαμμώδης, καὶ τραχὺς ὤν, τῷ καθαίρειν τοὺς πόδας ὑπουργεῖ.

86. Tophus, arenoſus & ſcaber, pedibus mundandis ſubſervit.

ϖζ. Ὁ ἀλαβαστρίτης, μάρμαρόν ἐστι λευκότατον.

87. Alabaſtrites candidisſimum marmor.

ϖη. Ὁ μαγνήτης (ἡ μαγνῆτις, ὁ σιδηρίτης, ἡ σιδηρῖτις) ἕλκει τὸν σίδηρον, καὶ τῇ ἄρκτῳ ἀντιστρέφεται κατ' εὐθείαν.

88. Magnes ferrum trahit, & ſeptentrioni ſe obvertit directè.

ϖθ. Τῶν λίθων τιμιωτάτη μέν ἐστιν ὁ ἄνθραξ, δευτέρα δὲ ταύτης ὁ ἀδάμας, εἶτα δ' ἡ κυανῖτις, ἡ ἐρευθῖτις, ὁ σάπφειρος, ὁ μάραγδος (σμάραγδος) ἡ ἴασπις, ὁ ὑάκινθος, ὁ ὄνυξ, ὁ σαρδόνυξ, ὁ χρυσόλιθος, ὁ χρυσόπρασος, ὁ ἀμέθυστος· καὶ ἕτεραι αἵπερ γωνιώδεις οὖσαι στίλβουσιν.

89. Gemmarum preciosiſsima eſt carbunculus, ſecunda ab illa Adamas, tùm Turcois, Rubinus, Saphirus, Smaragdus, Jaſpis, Hyacinthus, Onyx, Sardonyx, Chryſolithus, Chryſopraſus, Amethyſtus, & cæteræ, qvæ angulatæ micant.

ϙ. Ὁ δ' αἱματίτης, ὁ ἀλέκτωρ (ἡ ἀλεκτορία) ὁ βατραχίτης, ὁ σάρδιος, καὶ ὁ κύανος, λίθοι ἀγεννέστεραί εἰσι.

90. Hæmatites verò, Alectorius, Buſonius, Sarda, Lazulus, ſeqviores ſunt.

ϙα. Τὰ μάργαρα, (οἱ μαργαρῖται, αἱ μαργαρίτιδες) ἐν ταῖς κόγχαις εὑρίσκονται.

91. Uniones (*Margaritæ*) in conchis reperiuntur.

ϙβ. Τὰ κοράλλια δενδρίου τινὸς ἐναλίου κλαδίσκοι εἰσίν.

92. Corallia ſunt arbuſculæ marinæ ramuſculi.

ϙγ. Η ὕαλος ὁμοιότητα μὲν, ἀλλ' οὐ σκληρότητα τοῦ κρυστάλλου ἔχει· σμύριδι (σμυρίτῃ) τέμνεται.

93. Vitrum Cryſtalli ſimilitudinem habet, non duritiem: ſcinditur Smyrite.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ δέκατον.

ΠΕΡΙ ΜΕΤΑΛΛΩΝ.

CAPUT DECIMUM.

DE METALLIS.

ϙδ. Τὰ μέταλλα ἐκ μεταλλείων μεταλλεύεται· ἐξ ὧν τηκομένων τε, καὶ πυκνουμένων (πηγνυμένων) ὄντων, ποικίλα συγκροτεῖται.

94. Metalla è fodinis eruuntur: è qvibus, qvia & liqveſcunt, & ſpiſſantur (*conſiſtunt*) varia conflantur.

ϙε. Ὁ χρυσὸς τελειότατόν ἐστιν, ὅτι εἰλικρινέστατον, καὶ ἐμβριθέστατον· μάλιστα δὲ τὸ ὄβρυζον.

95. Aurum eſt perfectiſſimum: qvia puriſſimum & ponderoſiſſimum: præſertim obryzum.

96. Hoc

ϟϛ. Τοῦτο γὰρ καὶ ἑκατοντάκις εἰς κλίβανον ἐμβληθὲν, οὐδὲν δήπου τῆς οὐσίας ἀποβάλλει.

96. Hoc enim vel centies Clibano immiſſum, ne hilum ſubſtantiæ (eſſentiæ) deperdit.

ϟζ. Ὁ ἄργυρος αὐτῷ παραπλήσιόν ἐστιν, ἀκίβδηλος μὲν ὑπάρχων· ἀλλά τοι κιβδηλίαν τε, καὶ σκωρίαν ἔχει, αἵπερ κατακαίονται.

97. Argentum huic proximè accedit, qvum purum putum eſt: ſed excrementa & ſcorias habet, qvæ amburuntur.

ϟη Ὁ σίδηρος, καίπερ σκληρότατος ὤν, ἰῷ διατρώγεται (ἰοῦται) ἐσκληρωμένος δὲ ἐνίοτε, χάλυψ ὀνομάζεται.

98. Ferrum, utut duriſſimum, ferrugine arroditur: conduratũ aliqvoties, Chalybs dicitur.

ϟθ. Ὁ ἰὸς χαλκῷ τῷ κυπρίῳ ἐνίσχεται.

99. Ærugo cupro adhæret.

ρ. Ὁ ὀρείχαλκος, χαλκός ἐστι μετὰ συντήξεως τῆς καδμείας διακεχρωμένος διὰ τὴν ψαθυρότητα μόνον χεῖσθαι δυνάμενος

100. Orichalcum eſt æs colliqvefactâ Cadmiâ tinctũ, qvod ob friabilitatem fundi tantùm poteſt.

ρα Ἤλεκτρον ὁ κασσίτερος, τούτου δὲ ὁ μόλιβδος ἀτιμότερός ἐστιν.

101. Electrô ſtannum, hôc autẽ Plumbum, vilius eſt.

ρβ. Οὐδὲν θαυμαστότερον τοῦ ὑδραργύρου ἐστὶν, ὑγροῦ μὲν ὄντος, ἀλλὰ μὴ ὑγραίνοντος.

102. Argentô vivô (*hydrargyro*) nihil mirabilius: eùm liqvidũ ſit, nec tamen madeat.

ργ. Ἐάν τε γὰρ ἐκχεύσῃς αὐτὸν ἐπί τι, ἐάν τέ τι ἐμβάψῃς εἰς αὐτὸν, ἐάν τε προσραίνῃς τινὶ αὐτὸν, μηδὲν μέντοι καταδεύεται.

103. Nam ſive id ſuper aliqvid effundas, ſive ei aliqvid immergas, ſive alicui id aſpergas, nihil madeſcet.

ρδ. Ὁ ἅλς, ἡ στυπτηρία, τὸ στίμμι, ὁ χάλκανθος (τὸ χάλκανθον) τὸ νίτρον, τὸ θεῖον, ἡ ἄσφαλτος, ἡ νάφθα, ἡ βῶλος, ἡ Ἀρμενία, ἡ σφραγὶς ἡ λημνία, ὁ ψίμμυθος, ἡ κιμωλία, ἡ μίλτος, τὸ κιννάβαρι, τὸ ἀρσενικὸν, ἡ ὤχρα, ἡ χρυσοκόλλα, τὸ ἄμμιον, πέλανοι μεταλλευτοί εἰσι.

104. Sal, Alumen, Antimoniū (ſtibium) Vitriolum (chalcanthum) Nitrum, Sulphur, Bitumen, Naphtha, Bolus Armenus, Terra ſigillata, Ceruſſa, Creta, Rubrica, Cinnabaris, Arſenicum (Auripigmentum), Ochra, Chryſocolla, Minium, &c. ſunt ſucci minerales.

ΚΕΦΑ'ΛΑΙΟΝ ΤΟ' ἑνδέκατον.

ΠΕΡΙ' ΤΩ͂Ν ΔΕ'ΝΔΡΩΝ ΚΑΙ' καρπῶν.

CAPUT UNDECIMUM.

DE ARBORIBUS ET FRUCTIBUS.

ρε. Τὸ φυτὸν διὰ ῥαχῶν τῆς ῥίζης τὴν ἰκμάδα ἀποπῖνον, βλα-

105. Planta, Fibris Radicum humorem imbibens, germinat, ale-

στένει, ἀδρῦται, ἀκμάζει, καὶ ἀνθεῖ.

alescit, viget, florétqve.

ρϛ. Ὑστερούμενον δὲ ταύτης, μαραίνεται, καὶ σαθροῦται, καὶ ξηραίνεται.

106. Eo destituta flaccescit, marcescit, arescit.

ρζ. ἥπερ εἰς ὄζους (ἀκρεμόνας) καὶ κλάδους, καὶ θαλλοὺς πετάζεται, (ὀζοῦται) πρέμνον λέγεται.

107. Qvatenus in ramos, & ramusculos & frondes se pandit, stirps dicitur.

ρη. Τούτων δ' ἀποκεκομμένων, καὶ ἀνεσπαραγμένων, κορμοῦ καὶ στελέχους, καὶ στύπους ὄνομα ἔχει.

108. His desectis, revulsisq;, Trunci & Caudicis & Stipitis nomen habet.

ρθ. Ἐκτὸς (ἔξωθεν) μὲν ὁ φλοιὸς, ἐντὸς (ἔσωθεν) δὲ τὸ λέπος· [ἃ χλωρίζοντα ἔτι, λέπεσθαι δύναται] ἐσωτάτη δ' ἡ καρδία [ὁ μυελὸς, τὸ σπλάγχνον] ἐστί.

109. Extrinsecùs Cortex, intus (intrinsecus) libri sunt (qvi, dū adhuc virent, glubi possunt) Medulla est intima.

ρι. Τὰ δένδρα φυλλοβολεῖ (φυλλοῤῥοεῖ) καὶ φυλλοφορεῖ αὖθις, πλὴν τὰ κομμιδώδη, οἷά ἐστιν ἡ πύξος, ὁ σμίλαξ, καὶ τ' ἄλλα διηνεκῶς ἐαρίζομενα.

110. Arboribus folia delabuntur, & recrescunt, præterqvam gummosis, ceu sunt Buxus, Taxus, & cæteræ, qvæ continuè (usq; & usq;) vernant.

ρια. Τούτων τὰ μὲν τιθασσὰ (ἡμερά) ἐστιν, οἷον ἡ μηλέα, ἡ ἄπιος, ὁ κέρασος, ἡ προύνη (ἡ κοκκύμηλος, ἡ κοκκυμηλέα) ἡ συκῆ· καὶ ἡ ἐλαία· τὰ δ᾽ ἄγρια, ὡς ἡ μελία, ἡ φηγός, ἡ κλήθρα, καὶ ἡ μελία ἡ ἀγρία.

111. Harum aliæ ſativæ ſunt, ut Pomus (*Malus*) Pirus, Ceraſus, Prunus, Ficus, Olea: aliæ ſylveſtres, ut Fraxinus, Fagus, Alnus, Ornus.

ριβ. Ἐκεῖνα μὲν γὰρ καρποφόρα ἅπαντα· τούτων δὲ τὰ πλεῖστα ἄκαρπα, οἷον εἰ ἡ σημὸς (σημύδα) ἡ ἀχερωῒς, ἡ αἴγειρος;

112. Illæ omnes fructiferæ: harum pleræq; ſteriles, ut Betula, Populus alba, Populus nigra.

ριγ. Ἔνια αὐτῶν δασύσκιά ἐστι, καὶ ἐπισκιάζει. ὠνομασμένως (κλήδην) δ᾽ ἡ φιλύρα, ἡ πλάτανος, ἡ πτελέα, καὶ τ᾽ ἄλλα ὑλαῖα, πολύφυλλα, καὶ πλατύφυλλα ὄντα.

113. Qvædam earum umbriferæ ſunt, & opacant; nominatim Tilia, Platanus, Ulmus & cæteræ frondoſæ, folioſæ & latifoliæ.

ριδ. ἡ ἰτέα (οἰσύα) τοὺς ῥίπας πορίζει, ἐξ ὧν συμπλοκῆς κόφινοι, καὶ γέρρα, καὶ ταρσοὶ γίνονται.

114. Salix dat vimina, qvorum contextu Corbes, crates, & caſealia fiunt.

ριε. ἡ ἐλάτη βλωθρὸς, καὶ μακροστελέχης ἐστὶ, καθάπερ καὶ ἡ πίτυς, ἡ πεύκη, ἡ κυπάρισσος, ἡ κέδρος.

115. Abies procera, truncóqve longo prædita eſt, ut & Picea, Larix, Cupreſſus, Cedrus.

ρις. Ὁ φοῖνιξ κυρτούμενος, μᾶλλον μετεωρίζεται, καὶ ὑψόσε ἀνατείνεται.

116. Palma, ſi curvatur, validiùs attollitur, & in ſublime nititur.

ριζ. Ὁ μὲν ὀφθαλμὸς, καὶ ἡ κάλυξ πεπταμένη, τὸ ἄνθος προβάλλει [ἀλλὰ μὴν ἐν συκῇ τὸν ὄλυνθον.] τὸ δ' ἄνθος τὸν καρπόν· ὃς ἔτι πεπαμμένος (ὡραῖος γενόμενος) δρέπεται (ἀποδρέπεται) ἢ κατασείεται, ἢ ἀποπίπτει αὐτομάτως.

117. Gemma & Calyx hians protrudit florem, [ſed in Fico groſſulum] flos fructum: qvi poſteà, ubi maturuit, (maturus factus eſt) carpitur (decerpitur) aut decutitur, aut per ſe decidit, (delabitur.)

ριη. Ἔνιοι μὲν πρόωροι εἰσιν, ἔνιοι δ' ὄψιμοι, ἔνιοι δ' ἀειγενεῖς, ὡς αἱ ἀρκευθίδες (οἱ κόκκοι τῆς ἀρκεύθου) Ἔδονται δὲ, ἢ νεοὶ [ἐνιότε σὺν τῇ σπάδικι ἀπεσπασμένοι] ἢ ῥικνιέντες, ἢ σαπροί.

118. Qvidam ſunt præcoces, alii ſerotini, alii perennes, ut Baccæ Juniperi. Eduntur autem vel recentes, (aliqvando cum termite devulſi) vel vieti, vel fracidi.

ριθ. Τῶν κερασίων τὰ γλυκέα μὲν μίσχοις

119. Ceraſa dulcia oblongis petiolis (pedi-

(πεδίοις, ποδαρίοις) ὑπομηκεστέροις, τὰ δ᾽ ὀξώδη (ἀμαρηνὰ) βραχίοσι κρεμανται.

diculis,) acida (Amarena) breviusculis pendent.

ρκ. Τὰ μέσπιλα, καὶ τὰ κεδρόμηλα (μῆλα Περσικὰ) καὶ μῆλα Ἀρμενιακὰ, γναφαλώδη (λαχναῖα) ἐστι· τὰ δὲ κοκκύμηλα, τάτε Δαμασκηνὰ (βραβυλα) καὶ τὰ κήρινα, καὶ τὰ νανώδη, καὶ τὰ ἀγριοκοκκύμηλα, ὀστᾶ ἔχει.

120. Mespila & mala Persica, atq; Armeniaca, lanuginosa sunt: Pruna, tàm Damascena, qvàm Cerina, Nana atq; Sylvestria, ossiculata sunt.

ρκα. Τὸ λόπισμα ἀφαιρείτω ἀπολέπων, καὶ τὸ κάρυον [εἰ μὴ φροῦδον ἂν εἴη] ὀδοῦσιν, ἢ καρυοκατάκλη καταγνύτω, ὁ ἐκγιγαρτίζειν, καὶ ἐσθίειν τὸν πυρῆνα βουλόμενος, ἐάν τε κάρυον βασιλικὸν ὂν τύχῃ, ἐάν τε λεπτοκάρυον [ὅπερ ἡ Κόρυλος φέρει] ἐάν τ᾽ οὖν τρίβολος, ἐάν τ᾽ οὖν ἀμυγδάλη (ἀμύγδαλον) ἐάν τ᾽ οὖν κάστανον,

121. Putamen decorticando amoveat, & Nucem (si cassa non est) dentibus, aut nucifrangibulo frangat, qvi nucleum eximere & esse vult: sive sit Juglans, sive Avellana, (qvam fert Corylus) sive Tribulus, sive Amygdala (amygdalum) sive castanea.

ρκβ. ὁ Φελλὸς μὲν,

122. Suber & Ilex glan-

καὶ ἡ πρῖνος βαλάνους φέρουσιν, ἡ δὲ δρῦς καὶ ἀντιβαλάνους (κηκίδας) ἡ δὲ πῖνος στροβίλους, ἡ δὲ κρανεία κράνεια, ἡ δὲ δάφνη, καὶ ἡ σφένδαμνος, καὶ ἡ ὄα κόκκους. (ἀκρόδρυα)

ρκγ. Τὰ ἄπια, οἱ τῆς ὄας καρποὶ, τὰ κεράτια, μῆλα τὰ κυδώνια, τὰ χρυσόμηλα, τὰ κίτρεα (μηδικὰ) τὰ λειμώνια, καὶ αἱ ῥοαὶ (αἱ σίδαι) πυκάζουσι, καὶ στύφουσιν, ἢ ἐμφράττουσι· τὰ δὲ σῦκα, καὶ τὰ κόμαρα, καὶ τὰ μόρα (μῶρα) καὶ τὰ βάτινα ἰδαῖα, καὶ τὰ μύρτα ἄγρια μαλάττουσι, καὶ χαλῶσιν.

ρκδ. Ὁ λίβανος, ἡ μύῤῥα (σμύρνα) ἡ μαστίχη, ἡ καμφόρα, ἡ σαρκοκόλλα, ἡ τερεβινθίνη, ἡ ῥητίνη, καὶ ἡ πίσσα, κόμμι εἰσὶ μελεξετέρων δένδρων· ἀλλὰ δὴ καὶ ἡ ἤλεκτρος (τὸ ἤλεκτρον, τὸ λυγκούριον) ὡς λόγος ἐστί.

glandes, Qvercus etiam gallas, Pinus strobilos, Cornus corna, Laurus, Acer, & Sorbus silvestris, baccas ferunt.

123. Pyra, Sorba, Siliqvæ, & Cotonea (*Cydonia*) Aurantia, Citrea, Limonia, & Punica (*granata*) mala, stipant & *adstringunt*, vel *oppilant*: Ficus, Fraga, Mora, (mora Mori) mora Rubi Idæi, mora Myrti silvestris, *mora myrtilli seu vaccinia*) molliunt & laxant.

124. Tus, Myrrha, Mastyche, Camphora, Sarcocolla, Terebinthina, resina, pix, gummi sunt arborum certarum, qvin & Succinum (*electrum, Lyncurium, glessum*) ut ferunt.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ δωδέκατον.

ΠΕΡΙ ΤΩΝ ΒΟΤΑΝΩΝ.

ρκε. ἡ βοτάνη καυλοῦ ἢ θύρσου ἐκφυομένη, ἀποθνήσκει καθ' ἕκαστον ἔτος (κατ' ἐνιαυτὸν) πλὴν τοῦ ἀειζώου, καὶ κληματίδος τῆς δαφνοειδοῦς, διετιζόντων. (διετησίων ὄντων.)

ρκς. τὸ ὤκιμον, οἱ σίκυες (σίκυαι) οἱ πέπονες, οἱ μηλοπέπονες, αἱ κολοκύνθαι, (σικύαι, σικυῶναι) αἱ κολοκυνθίδες, αὐξανόμενα ὡς ὤκιστα ὄντα· ὁμοίως δὲ ἡ γογγύλη, (ἡ ζακελτὶς) ἡ βουνιὰς (τὸ βούνιον) ὁ σταφυλῖνος, τὸ σίσαρον, ὁ ῥάφανος [μείζων, καὶ ἐλάττων] ἡ κοράμβλη, τὸ σπανάχιον, ἡ κράμβη, ἡ ἀτράφαξις, ὁ σκόλυμος, τὸ πετροσέλινον, τὸ κάρδαμον, λάχανα καλοῦνται.

CAPUT DUODECIMUM.

DE HERBIS.

125. Herba Caule vel Scapo excrescens emoritur singulis annis, (qvotannis) præter Sedum (*semper vivum*) & Vincam pervincam, qvæ perennant, (perennes sunt.)

126. Ocimum, Cucumeres) pepones, melopepones, cucurbitæ, colocynthides, qvę ocissimè crescunt: similitèr verò rapum, Napus, Pastinaca, (Carota) Siser, Raphanus [major & minor] Brassica, Spinacia, Crambe, Atriplex, Scolymus, Petroselinum. Nasturtium, Olera vocantur.

ρκζ. Ἄχλαί εἰσιν, αἱ εἰς καλάμας ἐπανιστάμεναι, καὶ σταχυώμεναι μὲν, ὄσαι δ᾽ ἢ μεγαλοστάχυες, ἢ μικροστάχυες, καὶ ἐν ταῖς ἄχναις (τοῖς ἀχύροις) τοὺς κόκκους περιεπόμεναι (περιβάλλουσαι) ἐνειλημένους] κἂν ἀθερώδεις ὦσιν οἱ στάχυες, κἂν ἄνευ ἀθέρων] οἷον ἡ ὄρυζα, ἡ ζέα (ζειὰ) ὁ κέγχρος, ἡ μελίνη, (ὁ ἔλυμος) ὁ σῖτος καμακίας σῖτος ὁ Σαρακηνικὸς, σῖτος ὁ Ἰνδικός.

127. Fruges ſunt, qvæ in culmos (*calamos*) adſurgunt, & ſpicas habent, ſive magnas, ſive parvas, & glumis involuta grana fovent, ſive ſpicæ ariſtatæ ſint, ſive absq; ariſtis: ut Oryza, Zea, (*Ador*) Milium, Panicum, frumentum Turcicum, frumentum Saracenicum, frumentum Indicum.

ρκη Τὰ δὲ ὄσπρια ἐν κερατίοις καὶ λοβοῖς τὸ σπέρμα περιέργει· καθάπερ ἐν τῷ κυάμῳ, τῷ πίσῳ (λεκίθῳ) τῷ ὀρόβῳ, τῷ ἐρεβίνθῳ, τοῖς θέρμοις, τοῖς Φασηόλοις, τῷ βικίῳ, καὶ τῷ Φακῷ ἰδεῖν ἐστι.

128. Legumina verò ſiliqvis & valvulis, ſemen incluſum tenent: ut in Faba, Piſo, Ervo, Cicere, Lupinis, Phaſeolis, Viciâ, Lente videre eſt.

ρκθ. Τίς δὲ μηχανὴ, τὸν μὲν πυρὸν εἰς σίλιγνιν, ἢ ὄλυραν, καὶ σῖτον, καὶ δὴ καὶ εἰς ζιζά-

129. Sed qvî fit, ut Triticum in Siliginem vel olyram, & Secale, imò in Zizanium &

Æram

νιον, καὶ αἶραν, τὴν δὲ κριθὴν εἰς αἰγίλωπα, τὸν δὲ βρῶμον εἰς βρῶμον ψευδῆ ἐξίστασθαι, καὶ μεταπίπτειν;

Æram, (Lolium) Hordeum in Ægilopem; Avena in Avenam fatuam; degeneret?

ρλ. Ὁ χιλὸς τῶν κτηνῶν ἕνεκα σπείρεται.

130. Farrago Pecoris causâ ſeritur.

ρλα. Βολβώδη (βολβὸν ἀντὶ ῥίζης ἔχοντα) εἰσι, τὸ σκόροδον, τὸ κρόμμυον, τὸ κολχικὸν, τὸ κρίνον (λείριον) τὸ πράσον· καὶ τὰ ἐξωτικὰ, ὁ ἀσφόδελος, ἡ ἀνεμώνη, ὁ (ἡ) ὑάκινθος, ἡ ἡμεροκαλλὶς, ὁ (ἡ) νάρκισσος, ἡ σκίλλα, τὸ ναρκισσολείριον.

131. Bulboſa (bulbum pro radice habentia) ſunt; Allium, Cepa, Colchium, Lilium, Porrum: Et exotica; Aſphodelus, Anemone, Hyacinthus, Martagum, Narciſſus, Scilla, (Sqvilla) Tulipa.

ρλβ. Ἀρώματα· τὸ ἄκορον, τὰ καρυόφυλλα, ὁ κρόκος (τὸ κρόκον) τὸ κινναμώμον, ἡ κύπειρος ἡ βαβυλωνικὴ, ὁ μάκερ, τὸ μοσχοκάρυον, (κάρυον,) τὸ μυρεψικὸν) τὸ πέπερι, τὸ ζούδαρ (τὸ ζάδουρ, ἡ ζαδέρα (ἡ ζιγγίβερις. Τούτοις δὲ καὶ τὰ ἐπιχώ-

132. Aromata: Acorus (acorum) Caryophylla, Crocus (crocum) cinnamomum, Galanga, Macir (macis) Nux moſcata myriſtica) Piper, Zedoaria (Zadura) Zingiber: His addantur vernacula, nimirùm Anethum, Aniſum, A-

ρια προστεθήτω· δηλονότι τὸ ἄνηθον, τὸ ἄνισον, τὸ ἄρον, τὸ κάρον, ἡ κνήκος (κνῖκος) τὸ κόριον, τὸ κύμινον, τὸ μάραθρον, ἡ πεπερῖτις, τὸ σίνηπι, ὁ θύμος. (τὸ θύμον.)

ρλγ. Πόαι εὔοσμοι, καὶ στεφανικαὶ [ἐξ ὧν στεφάνους, ἀναστίλλους, καὶ στεφανίσκους αἱ στεφανοπλόκοι πλέκουσιν] εἰσὶν ὁ ἀμάρακος (τὸ σάμψυχον) ὁ ἀμάρανθος, ἡ ἀνθεμὶς, τὸ χρυσάνθεμον, ἡ καρυοφυλλαία, ἡ δακτυλίτις, ἡ ψευδόναρδος, ὁ ναρδόσταχυς, τὸ λευκόϊον ὠχρὸν, λευκόϊον τὸ Ἰταλικὸν [λευκόν τε, καὶ ἐρυθρὸν] ἡ Παιωνία, ἡ φλομὶς, λείριον τὸ ἐαρινὸν, τὸ ῥόδον, ἡ λιβανωτὶς, τὸ δελφίνιον, τὸ ἴον, ἡ πταρμική

ρλδ. Τῷ χόρτῳ ἐγκαταλέγονται, ἡ ἀλσίνη, ἡ ἀναγαλλὶς, ἡ ὄνωσις, τὸ χηνόβοσκον, τὸ κέστρον, ἡ μο-

rum, Carum, (Carvum) Cnicus (cartamus) Coriandrum, Cuminum, fœniculum, (marathrum) Piperitis, Sinapi, Thymus.

133. Herbæ odoriferæ, & coronariæ (è qvibus Corollas, serta, atq; servias Coronariæ vient) sunt; Amaracus (sampsuchũ, Majorana) Amaranthus, Bellis, Calendula, Caryophyllus, Digitalis, Lavendula, Spica nardi, Leucoium luteum, Leucoium Italicum (album & rubrum) Pæonia, Primula veris, Lilium convallium, Rosa, Rosmarinus, Consolida regalis, Viola, Ptarmica.

134. Gramini accensentur, Alsine, Anagallis, Anonis, (ononis,) Anserina, Betoni-

λίβδαινα, τὸ θλάσπι, ἡ χαμαίδρυς, ὁ δόναξ, τὸ σύμφυτον, ὁ σμίλαξ, ἡ κασσύθα, ὁ κύτισος, ἡ ἐρείκη, ἡ εὐφροσύνη, τὸ ἄρκτιον, ὁ λαγόπους, τὸ λεπίδιον, ἡ μαλάχη, τὸ μυριόφυλλον, τὸ βρύον, τὸ ὁλόστεον, τὸ ὑδροπέπερι, τὸ ἀρνόγλωσσον, τὸ πολύγωνον, τὸ πολυγόνατον, τὸ πολύγαλον τὸ σύμφυτον τὸ ἔλαττον, τὸ βατράχιον, ἡ μυρσίνη ἡ ἀγρία, ὁ ἠριγέρων, ὁ σόγχος, ἡ σέρις ἡ ἀγρία, τὸ τριπέτηλον, (τὸ τρίφυλλον) ἡ ἀκαλήφη, τὸ φῦκος τὸ θαλάσσιον, τὸ χρυσάνθεμον, καὶ ὁ φακὸς ὁ ἐπὶ τῶν τελμάτων.

ρλε. Τῶν ἰατρικῶν (ἀκεστορικῶν) αἱ μὲν ἀλλοδαπαί, οἷον ἡ ἀλόη, ἡ τῆλις, τὸ ῥᾶ βάρβαρον, ἡ σένα· αἱ δ' ἡμεδαπαί· καὶ τούτων αἱ μὲν κηπαῖαι, καὶ ἥμεροι, αἱ δὲ πεδιά-

tonica, Bistorta, Bursa pastoris, Chamædrys, Carex, Consolida (Symphytum) Convolvulus (Smilax) Cuscuta; Cytisus Erica, Euphragia (euphrasia) Lappa, Lagopus, Lepidium, Malva, Millefolium, Muscus, Pilosella, Persicaria, Plantago, Polygonum, Polygonatum, Polygala, Prunella, Ranunculus, Ruscus, Senecio, Sonchus, Taraxacum, Trifolium, Urtica: Alga aqvatilis, Caltha, & Lens palustris.

135. Medicinalium aliæ peregrinæ sunt; ut Aloë, Fœnum græcum, Rhabarbarum, Sena: aliæ nostrates; eæq; vel hortenses, vel campestres. Hortenses;

στιμοι, καὶ ἄγριαι. Κηπαῖαι μὲν τὸ ἀβρότονον, ἡ ἄκανθος, τὸ ἀγήρατον, ἡ ἰασώνη, ὁ δίψακος, καὶ τἆλλα σκολύμων τῶν πιθασσῶν εἴδη· εἶτα ἡ γεντιανὴ, τὸ ἐλένιον (ἡ κλεωνία) ὁ ἐλλέβορος, τὸ ὅρμεινον, ἡ ὕσσωπος (τὸ ὕσσωπον) τὸ λιγυστικὸν, τὸ ἱπποσέλινον, τὸ παρθένιον, ἡ μίνθα (ἡ ἡδύοσμος) μίνθα ἡ οὔλη, ἡ νάρδος, τὸ ὤκιμον, ἡ γλύχων, τὸ πύρεθρον, τὸ πήγανον, ἡ σφάκος, ἡ θύμβρα.

ses; Abrotonum, Acanthus, Ageratum, Aqvilegia, Dipsacus, & aliæ Cardui sativi species: præterea Gentiana, Helenium (Enula, Inula) Helleborus, Horminum, Hissopus, Ligusticum (Levisticum) Hipposelinum, Matricaria, Menta, Menta crispa, Nardus, Ocimum, Pulegium, Pyrethrum, Ruta, Salvia, Satureja.

ρλϛ. Τῶν δὲ πεδιασίμων αἱ μὲν εὔκρατοί εἰσιν, οἷον τὸ ἀδίαντον, ὁ ἀσπάραγος, ἡ γλυκύρριζα· αἱ δὲ θερμαὶ, οἷον τὸ ἀψίνθιον, τὸ εὐπατόριον, τὸ πάνακες ἀγγελικὸν, τὸ σέλινον, τὸ μελισσόφυλλον, ἡ ἀρτεμισία, τὸ ἄσαρον, τὸ βούγλωσσον, βούγλωσσον τὸ πλατύφυλλον,

136. Campestrium verò aliæ sunt temperatæ; ut Adiantum, Asparagus, Glycyrrhiza; aliæ Calidæ; ut Absinthium, Agrimonia, Angelica, Apium, Apiastrum (Melissa) Artemisia, Asarum, Buglossum, Borrago, Buphthalmus, Beta, Chamæmelum (cha-

τὸ βούφθαλμον, τὸ τεύτλον, τὸ χαμαίμηλον, ἡ χαμαίπιτυς, τὸ κενταύριον, χελιδόνιον τὸ μέγα, καὶ τὸ μικρὸν, ἡ καλαμίνθη, ἡ κολοκυνθὶς, ἡ κόνυζα, ὁ δαῦκος, ἡ πιτυοῦσσα, ὁ καπνὸς, ἡ ὄσυρις, τὸ πράσιον, ὁ μελίλωτος, ἡ λινόζωστις, τὸ μελάνθιον, ὁ ὄρχις, τὸ ὀρείγανον, (ὀρίγανον) τὸ πευκέδανον, τὸ τράγιον, τὸ πολυπόδιον, τὸ σατύριον, τὸ σαξίφραγον, ἡ στοιβὴ, τὸ σκολοπένδριον, τὸ σχοίνανθον, τὸ σκόρδιον, τὸ ἕρπυλλον, τὸ βήχιον, καὶ ἡ βοτάνη ἱερά.

momilla) Chamæpytis, Centaurium, Chelidonium majus, & minus, Calamintha, Colocynthis, Conyza, Daucus, Esula, Fumaria, Linaria, Marrubium, Melilotus, Mercurialis, Nigella, Orchis, Origanum, Peucedanum, Pimpinella, Polypodium, Satyrium, Saxifragia, Scabiosa, Scolopendrium, Schœnanthum, Scordium, Serpillum, Tussilago, Verbena.

Αἱ δὲ ψυχραὶ, οἷον ἡ ἀτράφαξις, ἡ ὀξὺς, ἡ ὀξαλὶς, τὸ βλίτον, τὸ κιχώριον (κιχόριον) ἡ χονδρίλλη, ἡ σέρις, ὁ ὑοσκύαμος, ὁ μανδραγόρας, τὸ ὀξυλάπαθον, ἡ ἑλξίνη, ἡ ἀνδράχνη, σέρις ἡ στενόφυλλος, τὸ σπανάχιον.

Aliæ verò frigidæ; ut Atriplex, Acetosa, Acetosella, Blitum, Cichorium, Chondrilla, Intybus, (Endivia) Hyoscyamus, Mandragora, oxylapathum, Parietaria, Portulaca, Scariola, Spinacia.

Ἃ δὲ ὑγραὶ, οἷον ἡ νυμφαία, καὶ τὸ ποταμόγειτον, καὶ ἡ πιστάνα. Αἱ δὲ ξηραὶ, οἷον ἡ κληματὶς, ἡ χαμαικάλη, ἡ πτέρις, ἡ ἰσάτις, τὸ λάπαθον, τὸ πεντάφυλλον, ὁ φλόμος. Ἑπόμεναι δὲ, χειρουργικαί εἰσιν, ἡ ἀριστολογία, τὸ κυνόγλωσσον, τὸ ἠρύγγιον, ἡ οἰνάνθη, τὸ σπάρτιον, πολύγονον τὸ μικρὸν, τὸ ὑπερικὸν, τὸ πάνακες, ἀρτεμισία ἡ μονόκλωνος, τὸ ἑπτάφυλλον, τὸ τεύκριον, ἡ ἀσκληπιάς.

Aliæ verò humidæ; ut Nymphæa, , Potamogetum, & Sagitta. Aliæ deniq; ſiccæ; ut Clematis (vinca, vinca pervinca) Ebulus, Filix, Glaſtum(Iſatis) Lapathum, Qvinqvefolium (Pentaphyllum) Verbaſcum.

Seqventes Chirurgicæ ſunt; Ariſtolochia, Cynogloſſum, Eryngium, Filipendula, Geniſta, Herniaria, Hypericum, Panaces, Tanacetum, Tormentilla, Veronica, Vincetoxicum, &c.

ρλζ. Τελευταῖον δηλητηριώδη εἰσὶ, τὸ ἀκόνιτον, τὸ κώνειον, τὸ τοξικόν. Ἀλλὰ τὸ τῆς μήκωνος κάρηνον (ἡ κώδεια) τιτρωσκόμενον ἀποστάζει τὸ μηκώνιον, (τὸ ὄπιον) ὑπνωτικόν τε, καὶ ναρκωτικὸν ὂν, καὶ διὰ τοῦτο ἀνώδυνον.

137. Tandem venenatæ ſunt, Aconitum, Cicuta, Napellus, ſed papaveris capitulum vulneratum, deſtillat Opium, qvod vim habet ſoporandi & ſtupefaciendi; ideoqve anodinum eſt.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ τρισκαιδέκατον.

ΠΕΡῚ ΤΩ͂Ν ΘΑΜΝΩΝ.

ρλη. Ἡ ἀκλὴ, ἡ ὀξυάκανθα, τὸ ῥιβέσιον, ἡ βάτος, βάτος ἡ ἰδαία, ὁ κισσὸς, ὁ κύπρος, τὸ βάλσαμον, τὸ βράθυ, τὸ κεράτιον, ὁ στρύχνος, ὁ παλίουρος ὁ ἀκανθώδης, ἡ ἄκανθα, θάμνοι λέγονται.

ρλθ. ὁ κάλαμος, ἡ κάννη, (ἡ φιλὶς) καὶ τὸ θρύον, καὶ ἡ σχοῖνος, ἐν τοῖς τενάγεσι γενόμενα περιΐασιν. (ἑλειογενῆ εἰσιν.)

ρμ. Ἐξ ἀποκοφθέντων τῶν βρύλλων ἀνόζων, οἷσπερ αἱ τύφαι ἐπιγίγνονται, ψάθους ποιοῦσιν οἱ καννηνοποιοί.

ρμα. Οἱ βωλῖται, τὰ οἴδνα, τὰ ὕδνα, τὰ ἀρχία τῶν μυκήτων ἀριστεύουσι.

CAPUT DECIMUM TERTIUM.

DE FRUTICIBUS.

138. Sambucus, Berberis, Ribes, Rubes, rubus Idæus, Hedera, Ligustrũ, Balsamum, Sabina, Siliqva (ceratium) solanum, spinosusq; Paliurus; Dumus item (sentis ac vepres) frutices cluent.

139. Arundo, Canna, Ulva, & Juncus in palustribus proveniunt.

140. Ex scirpis enodibus, (qvibus Typhæ innascuntur,) succisis tegetes conficiunt storearum confectores.

141. Boleti, Tubera, Capreolini, & Ruffuli inter fungos præstantissimi sunt.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ τεσσαρεσκαιδέκατον.

ΠΕΡΙ ΤΩΝ ΖΩΩΝ, ΕΙΔΙΚΩΣ ΔΕ τῶν ὀρνίθων.

ρμβ. Ὅ,τι οὖν τὴν ζωὴν, καὶ αἴσθησιν, καὶ κίνησιν ἔχει ζῶόν ἐστι

φκζ. Ὁ ξυλουργὸς (ὑλουργὸς) ἐρείσας πόρπαξι σιδηροῖς τὴν δοκὸν, τῇ ἀξίνῃ κατὰ στάθμην πελεκᾷ αὐτὴν [καταπετομένων τῶν πελεκημάτων, καὶ σχιδάκων ἢ σχιδίων] τῷ τρυπαίῳ (τερέτρῳ) τερεῖ (τρυπᾷ) τροχιλίοις αἴρει, τοὺς τοίχους συντάσσει, καὶ τοὺς ἥλους ἐντρίβων γομφοῖ.

527. Faber lignarius (tignarius) firmata ansis ferreis trabe, asciâ ad amussim asciat [segmentis & assulis avolantibus] terebrâ terebrat (forat) trochleis elevat, parietes coordinat, clavis impactis consolidat.

φκη. Ἵνα μὴ εὐρῶτι παλύνηται (εὐρωτιᾶται) καὶ θηριῶται, τὰ

528. Ne cariem sentiant (cariosa fiant) ac vermiculentur

κᾶλα, ὑποκοπτέσθω (τεμνέσθω) μετὰ τὸ πανσέληνον.

tur ligna, post plenilunium succidantur.

φκθ. Ὁ ὑλοτόμος τὰ δένδρα καταβάλλει κόπτων, εἶτα κολούει (ἀποκολούει) καὶ πρίονι πρίει [καταπιπτόντων τῶν παραπρισμάτων] καὶ δὴ καὶ ῥαιστῆρι ἐγκρούων τὸν σφῆνα (σφηνῶν) κέει, θεσμοὺς συντίθησι, καὶ τοὺς τῶν φρυγάνων φακέλλους.

529. Lignator arbores sternit, truncat (detruncat) serrâ serrat [scobe vel serragine decidente] tuditéq; cuneum adigens findit, strues componit, ut & sarmentorum fasces.

φλ. Ὁ κιβωτοποιὸς (κλινοπηγὸς) τῷ σκεπάρνῳ, καὶ ξυήλῃ ξέει τὰς σανίδας (τὰ σανιδώματα) καὶ γόμφοις τὰ οἰκεῖα ἑνοῖ, καὶ κόλλῃ (ξυλοκόλλῃ) κολλᾷ (συγκολλᾷ) καὶ κόμμι ἀρκευθίνῳ πιστικῷ ἐπιχρίει.

530. Arcularius (scriniarius) asseres (assamenta) dolabrâ & runcinâ edolat, subscudibus tabulas coadunat, glutine (collâ) combinat (glutinat, conglutinat) vernice illinit.

φλα. Ὁ σιδηρουργὸς ἐν τῇ σιδηρουργίᾳ ὑπεμφυσᾷ διὰ φυσῶν, καὶ τὸν σίδηρον ἐκμεμαλαγμένον τῇ πυράγρᾳ δεξάμενος, ἐπὶ τοῦ ἄκμο-

531. Ferrarius in ustrinâ follibus insufflat, emollitúmqve & forcipe prehensum ferrum, super incude

cu

νος χαλκεύει, καὶ διομαλίζει, καὶ εἰς ἐλάσματα καὶ πέταλα εὐρύνει.

cudit, explanat, inqvè laminas & bracteas diducit.

φλβ. Ὁ κλειδοποιὸς (κλειστροποιός) καὶ ὁ πρισνοποιὸς, καὶ ὁ ξιφοξόος, τῇ μὲν ῥίνῃ ῥινοῦσι (τὰ λείψανα, ῥινήματά ἐστι) τῷ δὲ ῥιναρίῳ λεαίνουσι καὶ ξύουσιν, ὡς ἀγλαΐζεσθαι.

532. Claustrarius (serarius) serrarius & polio limâ limant (reliqviæ sunt ramenta) planulâ verò lævigant & poliunt, ut niteat.

φλγ. Ἑπόμενοι τούτοις εἰσὶν οἱ χαλκεῖς, καὶ οἱ κασσιτερουργοὶ, καὶ οἱ αὐτοματοτέχναι, καὶ οἱ ἁμαξοπηγοί· ὡσαύτως καὶ οἱ σκινδαλμοποιοὶ, καὶ οἱ πυτινοπλόκοι, καὶ οἱ τορευταὶ, καὶ οἱ ὑαλουργοὶ, καὶ οἱ τοὺς κάλως (σχοίνους) στρέφοντες, οἱ καλωστρόφοι, ἢ σχοινοστρόφοι.

533. Eódem pertinent fabri ærarii, stannarii, automatarii, carpentarii: (plaustrarii) scandularii itidem, vietores, tornatores, vitriarii, &, qvi restes torqvent, restiones.

φλδ. Οἱ ἐργάται μισθὸν λαβόντες (μεμισθωμένοι) ὑπηρετοῦσι,

534. Operarii mercedem (manuspreciũ) accipientes (merce-

μοχλοῖς μὲν ἀνοχλίζοντες, ταῖς δὲ φάλαγξι κυλίοντες.

de conducti) subministrant, vectibus tollētes, palangis volventes &c.

φλε. Ὁ κεραμεὺς (χυτρεὺς) ἐκ τοῦ κεράμου (τῆς ἀργίλου) τοὺς χύτρους, τὰς κεραμίδας, τὰ πώματα, καὶ τ' ἄλλα κεράμια πλάττει.

535. Figulus ex argillâ ollas, fidelias, opercula, aliáq; figlina (fictilia) fingit.

φλς. Οἶκος βαθέως θεμελιωθεὶς, καὶ οἰκοδομηθεὶς εὐμηχάνως, καὶ στερεωθεὶς τὰς γωνίας, καὶ στύλοις στηριχθεὶς, πολυχρονιωτάτως (εἰς τὸ ἐπιπλεῖστον) ἑστήκει ἀπήμων.

536. Domus altè fundata, affabrè exstructa, angulis benè solidata, columnisqve stabilita, perstat diutissimè incolumis.

φλζ. Ἄλλοτ' ἐρείπεται, καὶ γίνεται καταπτώματα, καὶ ἐρείπια.

537. Aliàs ruit, & fiunt ruinæ ac rudera.

φλη. Ἀστατοῦντα (πταίοντα) μὲν ἄρα ἀνάγκη ἐνδομήσεσι καὶ ἄλλοις ἐρείσμασι στηρίζεσθαι, ὑποφερόμενον δ' ἀναρτίζεσθαι ἢ καταβάλλεσθαι, κατερρου-

538. Vacillantem itaqve pilis vel aliis fulcris fulciri, labantem refici aut dirui,

colla-

κότα δὲ, ἢ κατεστραμμένον ἀνασκευάζεσθαί τε, καὶ ἀνοικίζεσθαι, καὶ ἀνανεοῦσθαι, ἢ ἀνακαινίζεσθαι.

collapsam destructámve instaurari (restaurari) reparari & renovari, necesse est.

Φλθ. Οἴκημα (οἰκητήριον) δ' εὐρύχωρον, οἴκησιν μὲν ἐπιτηδῆ· στενόχωρον δὲ, ἀνεπιτήδειον παρέχει.

539. Domicilium (habitaculū) amplum commodam facit habitationem, arctū incommodam.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ τεσσαρακοστὸν ἔννατον.

ΠΕΡΙ ΤΗΣ ΟΙΚΙΑΣ, ΚΑΙ ΤΩΝ μορίων αὐτῆς.

CAPUT QVADRAGESIMUM NONUM.

DE DOMO, EJUSQVE PARTIBUS.

Φμ. Εἰσελευσόμενος εἰς οἰκίαν διὰ τῆς ἔμπροσθεν θύρας, μὴ ἁμαρτεῖν, ἐν τῷ προθύρῳ ὕφιστω, καὶ τὸ μέτωπον ἄθρει· (ἐπίβλεπε) μετὰ ταῦτα θυροκόπει.

540. Introiturus in ædes per anticam, ne aberres, in vestibulo subsiste, & frontispicium intuere: demùm pulsa.

Φμα. Τινὸς διὰ τῆς κιγκλίδος, ἢ κανόνων, τῶν ἐκ σιδηρείων δεδικτυομένων ποιηθέντων

541. Si qvis per transennam, aut clathros è ferramentis reticulatis factos, pro-

προσκίπτοντος, ἀνοίγειν μὲν αἴτησον, διοίξαντος δὲ τοῦ θυρωροῦ, τοὺς πόδας ἆρον, μὴ προσκόψειν αὐτοὺς πρὸς οὐδὸν, καὶ ὑπόκυψον, μὴ ἀράξειν τὴν κεφαλὴν πρὸς τὸ ὑπέρθυρον· ἀμφὶς αἱ παραστάδες τῶν φλιῶν ἔσονται.

spectat, aperiri roga; si janitor aperit, pedem, ne ad limen offendas, attolle, caput, ne ad superliminare allidas (impingas) submitte: utrinqve antarum postes erunt.

φμβ. Εἰσενεχθεὶς, καὶ διαλλάξας (ἀμείψας) τὸ θύρετρον ἐπίκλειε, τὸν μοχλὸν (τὸ κλεῖθρον) ἐπιθεὶς, ἤγε τὴν βάλανον. (τὸ μάγγανον.)

542. Ubi intromissus pertransiveris, ostium occlude; pessulum obdendo, aut obicem saltem.

φμγ. Μὴ κρίζειν (τρίζειν, ῥοιζεῖν) τοὺς στρόφιγγας (στροφεῖς) μηδὲ ληκεῖν τὰς κλεισίας, ἠπίως κίνει αὐτάς.

543. Cardines ne strideant, aut fores crepent, lentè eas commove.

φμδ. Ἐξ αὐλῆς μὲν εἰς τοὺς μυχοὺς εἴσβασις (εἴσοδος) ἐστι· διὰ τῶν κλιμάκων δὲ, ἢ τῶν κοχλιῶν (κλιμάκων τῶν

544. Ex atrio in conclavia aditus est: per scalas aut cochleam)

ad

ἑλικτῶν) ἐπὶ τὰς ἄνω ὀροφὰς (τὰ ὦα)

ad superiores contignationes.

Φμε. Τοῖς μὲν ἐρείσμασι τὸ στέγος (ἡ στέγη) ἐπερείδεται, ταῖς δὲ δοκίσι, καὶ τοῖς στρωτῆρσιν αἱ κεραμίδες, καὶ οἱ σωλῆνες, καὶ οἱ σκινδαλμοί· Ἡ ἄκερα καρφίνη, ἢ καλαμίνη ἐστί.

545. Columinibus tectum incumbit, tignis & tigillis tegulæ, imbrices, & scandulæ: culmen stramineum, (stramentitium) vel arundinem est.

Φμς. Προσθῆκαί εἰσιν αἱ περιβολαὶ, τὰ γεῖσα, τὰ μηνιανὰ, τὰ ταῖς ἀντηρίσιν ἐγκείμενα πόδια, αἱ ἐκφοραὶ, καὶ αἱ κορωνίδες.

546. Additamenta sunt projecturæ & suggrundia, meniana, & antibus innixa podia, atq; pergulæ coronidésq;.

Φμζ. Τὸ αἴθριον τόπος ἐν οἴκῳ ἐστὶ, τοῦ ὄμβρου δεκτικός· διὰ τοῦ ὀπισθοθύρου ἔξοδός ἐστιν ἑτέρωσε.

547. Area locus in domo est pluviam recipiens (impluvium) per posticum exitus est aliò.

Φμη. Τῇ κλειδὶ κλείεται καὶ ἀνοίγεται τὸ κλεῖστρον.

548. Clave sera clauditur & recluditur, (obseratur & reseratur.)

ΚΕΦΑΛΑΙΟΝ ΤΟ πεντηκοστόν.

CAPUT QVINQVAGESIMUM.

ΠΕΡΙ ΤΟΥ ΥΠΟΚΑΥΣΤΟΥ.

DE HYPOCAUSTO.

φμθ. Τὸ ὑπόκαυστον (ἡ πνιγία) διὰ τοῦ βαύνου (καμίνου), θέρεται, ἢ θερμαίνεται.

549. Hypocauſtum (vaporarium) fornace vel caminô calefit.

φν. Τῶν θυρίδων αἱ μὲν ὑάλιναι, αἱ δὲ ξύλιναι· καὶ αὗται οὐ σπανίως δρύφακτοί εἰσι.

550. Feneſtræ vitreæ, aut ligneæ; & hæ haud raró cancellatæ ſunt.

φνα. Τὸ μὲν δάπεδον (ἔδαφος) τῷ λίστρῳ ἠδαφισμένον, ἢ λελιστρωμένον, ἢ καὶ ἀβακίσκοις πεποικιλμένον, ἢ ψηφῖσι διηνθισμένον ἐστί· τὸ δὲ φάτνωμα σεσανιδωμένον, καὶ διαγεγλυμμένον, ἢ καμαρωτόν.

551. Pavimentum fiſtuca (pavicula) pavitum, aut fiſtucatum, (complanatum, aut teſſelis variegatũ (teſſellatum) aut vermiculatum eſt: laqvear (lacunar) veró tabulatum, & ſcalpturatum, aut fornicatum.

φνβ. Χρήσιμα τῷ τηρεῖν (φυλάσσειν) μὲν τὰ πράγματα ἐστιν ἀποδοχεῖα τάδε· αἱ κιβωτοὶ, αἱ ἐδεσματοθῆκαι, οἱ ῥίσκοι (πύελοι οἱ ἐντοι-

552. Servandis (cuſtodiendis) rebus receptacula (reconditoria) ſunt hæc; Arcæ, armaria, riſci, thecæ, capſæ,

χοι) αἱ θῆκαι, αἱ κάψαι, τὰ καψάκια· τῷ δὲ διακομίζειν αὖλα, τὰ ζύγαςρα, αἱ σαργάναι (αἱ σπυρίδες) οἱ κόφινοι, οἱ κάλαθοι, τὰ ταλάρια.

capſulæ: transportandis verò zygaſtra, ſportæ, cophini, calathi, qvaſilli, &c.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ πεντηκοςὸν πρῶτον.

CAPUT QVINQVAGESIMUM PRIMUM.

ΠΕΡΙ ΤΟΥ ἈΝΩΓΕΩ.

DE COENACULO.

φνγ. Ἐπὶ τὴν τράπεζαν ὀθόνη ἐςρωμένην, οἱ δίσκοι (κύκλοι) ἢ οἱ πίνακες ἐπιτίθενται, ὁμοίως δὲ καὶ τὸ ἁλοδόχον.

553. Menſæ mappa ſtratæ diſci (ſive ſint orbes, ſive qvadræ) ſuperponuntur, ut & ſalinum.

φνδ. Παρατίθενται ἐκ τοῦ κάνητος (κανάςρου, κανίςρου) καὶ αἱ κολλύραι, καὶ οἱ ψωμοὶ τοῦ ἄρτου τετμημένοι, καὶ τὰ παραφερόμενα.

354. Apponuntur è caniſtro panis collyræ, & bucceæ ſciſſæ, & fercula.

φνε. Οἱ κεκλημένοι σύνθοινοι (εἰλαπιναςαὶ) ἐάν τε σύνδειπνοι, ἐάν τε

555. Invitati convivæ, ſive concœnatores, ſive compranſores ſint,

συνάριστοι ὦσιν, ἀπὸ τοῦ ἑστιάτορος εἰς τὸ ἑστιατήριον (τρικλίνιον) εἰσάγονται.

φνϛ. Καὶ ἐπεὶ ἔνιψαν αὐτοὺς ἐπὶ λεκάνῃ ἐκ τῆς χοῦ ἢ ἐπὶ νιπτῆρι ἐκ τῆς πρόχου, καὶ χειρομάκτρῳ ἐξέμαξαν, ἀνὰ τὰ βάθρα καὶ τοὺς θάκους διατεθέντας (ὑποτεθέντων τῶν ὑποποδίων) ἀνάκεινται. (καθέζονται, κατακλίνονται.)

φνζ. Ἐν προβολῇ στὰς ὁ δαιτρὸς (χειρονόμος) τῶν ἐδεσμάτων τῶν προσφερομένων προγεύεται, καὶ δαίεται.

φνη. Τὰ μὲν ζωμίδια, τὰ πολτάρια, τὰ ἔνθρυπτα (τρίμματα) ἐξ οἴνου, ἢ βρύτου, καὶ οἱ ζωμοὶ, οἱ πεπερῖται ὁμοίως, ὥσπερ οἱ πηκτοὶ τοῖς κοχλιαρίοις (ἀρυτῆρσιν) ἢ ταῖς μυστίλαις· τὰ δ' ἄλλα

ſint, à convivatore in cœnaculum (triclinium) introducuntur.

556. Et ubi ſuper pelvim ex aqvali aut ſuper malluvium è gutturnio ſe laverunt, & mantili terſerunt, per ſcamna vel diſpoſita ſedilia (ſuppoſitis ſcabellis) accumbunt, (diſcumbunt.)

557. In procinctu ſtans ſtructor, qvi dapes appoſitas prælibat & dispertitur.

558. Juſcula, pulmenta, intritæ ex vino aut cereviſiâ, & tam piperata, qvàm gelata jura cochlearibus, vel bucceis panis excavatis: cætera edu-

lia

βρώματα, μαχαιρίδι, καὶ λαβιδίῳ (ἧς τῇ κώπῃ ἀντιλαβοῦ) λαμβάνεται.

lia cultrô aut furculâ (qvam manubriô tene)sumuntur.

φνθ. Οἱ ἀστεῖοι οὐ μὲν λείχουσιν ἢ λιχμάζουσι τὰ χείλη, ἐξειραγμένοι τὴν γλῶσσαν, ἀλλ' ὀθονίοις ἀπομόργνυσιν.

559. Civiles labia non exsertâ lingvâ lingunt lambúntve, sed mappellâ detergunt.

φξ. Οὐδὲ λαφύσσουσιν, οὐδ' ἐγκόφους ἐγκολαβίζουσιν, ἢ ψωμίσματα καταβροχθίζουσιν, ἀλλὰ μασώμενοι (σμώχοντες ἐσθίουσιν.)

560. Neq; tuburcicinantur, neq; bolos glutiunt, aut frusta deglutiunt, sed mansitando comedunt.

φξα. Αἱ μυῖαι ταῖς ῥιπίσι, καὶ ταῖς σόβαις σοβοῦνται.

561. Muscæ flabellis atq; muscariis abiguntur.

φξβ. Προαιροῦσιν ἐκ τῆς ἀποθήκης τοὺς κρατῆρας χρυσοβαφεῖς, τοὺς σκύφους, τοὺς κυάθους, τὰς κύλικας, τὰ ἐκπώματα, τὰ ὑαλᾶ, τὰ κυλίκια, τὰ κεραμικὰ, καὶ περιεψημένα τῷ ἐχινίσκῳ, καὶ ἀποκεκλυσμένα, ἐπὶ τὸν ἄβακα (τὸ κυλικεῖον) ἀνατιθεῖσι.

562. Depromunt è repositorio crateres auratos, scyphos, cyathos, calices, vitra & cullos, echinóq; defricata ac proluta, in abaco reponunt.

φξγ. Τὸ δέπας, ἢ ἡ φιάλη, ποτήριόν ἐστι πλατύστομον.

563. Patera seu phiala, est patulô orificiô poculum.

φξδ. Ὁ μὲν ταμίας, τὸ μέθυ φέρει, ὁ δ᾽ οἰνοχόος ἐκ τοῦ κανθάρου ἐγχεῖ καὶ ὀρέγει (προσφέρει), καὶ προπίνουσιν ἀλλήλοις ποτήματα ἱλαρά. (φιλοτησίας.)

564. Cellarius temetum affert, pincerna verò ex cantharo infundit & porrigit: propinántq; alii aliis geniales haustus.

φξε. Εὐωχία μὲν λιπαρὰ (εἰλαπίνη) δαῖτας ἔχει εὐόχθους [οὐκ ἄνευ κρεῶν θηρείων] καὶ τούτων μὲν δὴ πλείους, καὶ διαφόρους περιφοράς· ἡ δ᾽ οἰκοσιτία, μετριώτερον, καὶ εὐτελέστερόν ἐστι.

565. Opiparum convivium lautas habet epulas [non absqve ferina] & qvidem diversos missus: domicœnium moderatius, & frugalius est.

φξς. Ταῖς φλογίσι (τοῖς ὀπταλέοις·) προσεμβάλλεται ἐν πινακίσκοις τὰ ἐμβάμματα· οἷον αἱ θρίδακες, καὶ οἱ ῥάφανοι (αἱ ῥαφανίδες) καὶ τὰ ταρίχη· οἷον αἱ καππάρεις, οἱ σίκυοι (σίκυες) τεῦτλα τὰ ἐρυθραῖα, καὶ τὸ τέλος τὰ τρωγάλια, ἢ τὰ τραγήματα.

566. Assaturis superadduntur in scutellis embammata (intinctus) lactucæ, raphani: & salgama, cappares, cucumeres, beta rubra, tandémqve bellaria.

φξζ. Ἀλλὰ γὰρ ὁμιλίαι (διαλογισμοὶ) προσηνεῖς, καὶ ἀστικαὶ (ἀστεῖαι) ἀρτύματά (ἡδύσματά) εἰσιν ἐξαίρετα (ἐκλεκτά, ἐπίλεκτα) καὶ ἀπολαύσματα ἄριστα.

567. Verùm enim verò placida & festiva colloqvia præcipuum sunt condimentum, & optimum oblectamentum.

φξη. Οἱ βορώτεροι (βρωτικώτεροι) ἀκρατίζονται, ἀριστῶσι, δειλινοῦσι, καὶ δειπνοῦσιν· οἱ δ' ἑδραῖοι διάγοντες τὸν βίον, τοῦ ἀκρατίσματος, καὶ τοῦ δειέλου (προδείπνου) ἀπεχέσθωσαν.

568. Edaciores jentant, prandent, merendant, & cœnant: sed qvi sedentariam vitam agunt, jentaculô & merendâ abstineant.

φξθ. Τρὶς δὲ ἡμέρας (ἐφ' ἡμέρα) κορέννυσθαι, (χορτάζεσθαι) βλάπτει (πρὸς κακοῦ γίνεται,) εἰ μὴ φειδομένως.

569. Ter de die satiari (saturari) nocet; nisi parcè.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ πεντηκοστὸν δεύτερον.

ΠΕΡΙ ΤΟΥ ΚΟΙΤΩΝΟΣ.

CAPUT QVINQVAGESIMUM SECUNDUM.

DE CUBICULO.

φο. Ἐν τῷ κοιμητηρίῳ ὁ ἑρμὶς (ἑρμὶν) ἀνέχει τὴν εὐνὴν (τὴν κοίτην, τὸ λέκτρον) ἀλλ' ἀπολείποντος δεμνίου, ὁ φορμὸς, ἢ ψίαθος ὑποστρώννυται.

570. In dormitorio, sponda cubile sustinet: sed deficiente lectô, storea aut matta substernitur.

φοα. Τῷ ὑποστρώματι (λέχει) ὑπερστρώννυται ἡ τύλη (τυλεία) ταύτῃ δὲ τὸ προσκεφάλαιον (πρόσκεφαλον) καὶ τὸ ἐπίστρωμα· (ἐπιδέμνιον) τοῖς δὲ ψιαθίοις, καὶ ταῖς στρωμναῖς ἐπισκέπομεν ἡμᾶς.

571. Strato superinjicitur lodix, & huic cervical, atqve toral: tegetibus & stragulis nos integimus.

φοβ. Αἱ μὲν τάπιδες, πτίλιναί εἰσι· τὰ δὲ στρώματα κναφάλῳ (γναφάλῳ) σεσαγμένα.

572. Pulvinaria plumea sunt: culcitræ tomentô fartæ.

φογ. Ἡ ἀμὶς (ἡ οὐρητρὶς) τοῦ οὐρεῖν, καὶ ὁ ἀφεδρὼν (ἡ σκωραμὶς, ἡ ἄφοδος, τὸ λάσανον) τοῦ ἀφοδεύειν (τοῦ ἀποσκευάζειν) ἕνεκα, ἀναγκαῖά εἰσι τῷ δυναστηρίῳ σκεύη.

573. Matula (matella) vesicæ levandæ, & secessus (latrina) alvo exonerandæ, cubiculo necessaria vasa sunt.

φοδ. Ὁ κράβατος (ὁ ἀσκάντης) ἅμα τοῖς κωνωπείοις, πρὸς ἀνακλίσεως (ἀναπαύσεως) τῆς μεσημβρινῆς, ἢ δειλινῆς ἐστι.

574. Grabatus cum conopeis pro meridianâ, ſeu pomeridianâ reclinatione eſt.

φοε. Τὸν μὲν εὐνασάμενον (κοιμησάμενον) καὶ ὑπνοῦντα ὕπτιον, ὁ πνιγαλίων (ὁ ἐφιάλτης) τὸν δὲ πρηνῆ καταικείμενον ἡ δύσπνοια τείρει.

575. Qvi ſupinus cubat & dormit, eum incubus (ephialtes) qvi pronus jacet, eum anhelitus moleſtat.

φοϛ. Ἐκκοιμηθεὶς, καὶ ἐκνήψας, ἐγρηγόρει, μηδὲ ἀφύπνου πάλιν καὶ ἐγερθεὶς ἔγειρε τοὺς ἄλλους.

576. Si edormîſti & evigilâſti, vigila, ne obdormias rurſum: experrectúsq; expergefac alios.

φοζ. χειμῶνος, καὶ τροπῆς οὔσης τῆς χειμερινῆς, σπουδὴ (ἐπιμέλεια) ἡ ὀρθρεία δοκιμάζεται.

577. Hibernô & brumali tempore antelucana diligentia (induſtria) probatur.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ πεντηκοστὸν τρίτον.

CAPUT QVINQVAGESIMUM TERTIUM.

ΠΕΡΙ ΤΟΥ ΒΑΛΑΝΕΙΟΥ, ΚΑΙ τῆς καθαριότητος.

DE BALNEO ET MUNDITIE.

Φοη. Καθαρότητός μέν ἐστιν, ἀγλαῷ ὕδατι ἀπονίπτειν θαμὰ τὸ πρόσωπον· φύκει δὲ χρωννύναι (φυκοῦν) αὐτὸ ἀκαθαρσίας.

578. Limpidâ faciem sæpiùs abluere, munditiei est: fucô pingere (fucare) spurcitiei.

Φοθ. Ἐν τοῖς λουτροῖς, τοῖς λουτρῶσι, καὶ λουτροῖς τοῖς θερμοῖς, ὁ ῥύπος, ἡ ἀλουσία, ὁ πίνος, καὶ ὁ αὐχμὸς ἐκλούονται· ἐν πυελατηρίοις ἱδρῶτες ἐξάγονται, ἀνεῳγμένων τῶν πόρων.

579. In lavacris, balneis, & thermis, sordes & illuvies, pædores, & sqvalores, eluuntur: sudores in assis eliciuntur, apertis poris.

Φπ. Ἔνθα δὲ, τοῦ καλοῦ ἕνεκα ταῖς λουτρίσι (τοῖς ὑποταινίοις) καὶ τοῖς περιζωνίοις, τόπος ἐστί.

580. Ibi tamen, honestatis ergò subligacula (subligaria) & castulæ locũ habent.

Φπα. Τὰ δὲ λαίφη τῷ σμήματι (σμήγματι) πλύνεται, ἢ ἐκκορεῖται καλλύντρῳ, ἢ καὶ σπόγγῳ ἐκσμᾶται (ἐκσπογγίζεται)· τὰ δὲ περιδέραια ἀμύλῳ κρατύνεται.

581. Sed vestimenta sapone (smegmate) lavantur, aut everruntur scopulâ, aut exterguntur spongiâ: Collaria roborantur amylô.

Φπβ. Τῷ κιλικίῳ, καὶ τῇ κισσήρει, ἢ τῷ

582. Ciliciô & pumice vel tophô nos

πώρῳ ψηχόμεθα (θρυγανόμεθα) ἡμεῖς· τὰ δ' ἀγγεῖα (σκευάρια) ἀχύρων δεσμίδι, ἢ ἱππούρίδι καταψήχεται· τὰ δὲ συρώματα κορήθροις (συρώθροις) σαίρεται.

fricamur: Vascula stramentorum fasciculô vel eqvisetô stringuntur: Qvisqviliæ scopis verruntur.

Φπγ. Ὑστερήσαντος φρέατος, ἐξ οὗ χεῖλος ἀμφιβεβλημένου, κηλωνείῳ καὶ ἀντλίῳ, ἢ κάλπη (κάλπιδι) ἀρύσειας ἄν, ὀχετοὺς διὰ σωλήνων (συρεμβόλων) ἢ ἀμαρῶν ποιεῖσθαι προσήκει.

583. Ubi puteus desideratur, è qvo crepidine circumdato, tollenone & haustro, vel situlis (crateris) haurias, aqvæductus per tubos (canales) aut per incilia fieri convenit.

Φπδ. Ὁ κουρεὺς (κουρευτὴς) τῇ κουρίδι τὰς τρίχας κείρει, ἐν τῷ κουρείῳ [ἐκ παλαιοῦ ἔτιλλον, καθάπερ τοὺς μαλλοὺς (πόκους) τῶν προβάτων (οἰῶν) καὶ [αἰγῶν] ἢ τῇ τοῦ ξυρίου ἀκωκῇ ἀποψιλοῖ, (ἀποξυρᾷ.)

584. Tonsor in tonstrina crines forpice tondet [olim vellebant, ut & ovium, caprarúmq; vellera] vel deglabrat novaculæ acie.

Φπε. Προσέτι ὁ βαλανεὺς σχάζει.

585. Balneator insuper scarificat.

φπϛ. Ἡ κόμη, καὶ ἡ ἔθειρα [ἣν κομοῦσιν οἱ γερμανοί, ὥσπερ οἱ πολωνοὶ τὰ περικόμια] κτενὶ κτενίζεται, καὶ καλλύνεται· οἱ δὲ κίκιννοι καμμωτηριδίῳ οὐλοῦνται.

586. Coma & Cæsaries [qvam Germani alunt, ut Poloni antias seu capronas] pectine pectitur & comitur: calamistrô cincinni crispantur.

φπζ. Τὰ μυρώματα, τὰ θυμιάματα, τὰ θυήματα, καὶ οἱ ἐκ τῶν τοῦ μύρου ληκύθων ῥαντισμοί, τῶν ἀπολαυστικῶν εἰσιν, οἵπερ ἀλειψάμενοι εὐοσμοῦσι.

587. Unctiones, suffimenta (suffitus) & odoramenta, aspersionésq; ex ampullis, voluptariorum sunt, qvibus delibuti fragrant.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ πεντηκοστὸν τέταρτον.

ΠΕΡΙ ΤΗΣ ΣΥΖΥΓΙΑΣ, ΚΑΙ ΤΟΥ κήδους. (τῆς κηδεσίας.)

CAPUT QVINQVAGESIMUM QVARTUM.

DE CONJUGIO ET AFFINITATE.

φπη. Ὁ συνδυασμός (ἡ ἱερατέλειά) ἐστιν, ἡνίκα ὁ ἄρρην καὶ ἡ θῆλυς, ὡς συζυγεῖς, συνοικοῦσιν.

588. Conjugium est, cùm mas & fœmina, ut conjuges, cohabitant.

φπθ. Ὁ ἄζυγος (ἄγαμος, ἄλεκτρος) σύζευ-

589. Cœlebs ma-

ξιν ποιησόμενος, καθορᾷ τίνα μνηστεύσει, πότερον παρθένον ἀκμαίαν (ἐπίγαμον) κομψὴν, καὶ πολύφερνον· ἢ ὁ χῆρος χήραν.

trimonium initurus despicit sibi, qvam prociat, virginem nubilem (viraginem) elegantem, atq; dotatam, aut viduus viduam.

φϟ. Ἔσθ' ὅτε, ἡ φερνὴ (προίξ) καὶ τὸ εἶδος (κάλλος) ἀντεραστὰς προσκαλοῦνται. (ἀνακινοῦσιν)

590. Dos & forma nonnunqvam rivales exciunt.

φϟα. Ὁ μνηστὴρ λαχὼν τοῦ ἀπομνηστεύεσθαι (καθομολογεῖσθαι) αὐτῷ, νυμφίος γίνεται, καὶ ἡ γαμουμένη, νύμφη. Καὶ ἡ μὲν τὰς μνηστρίας (νυμφευτρίας) καὶ παρανύμφους, καὶ νυμφαγωγούς· ὁ δὲ τοὺς προξενητὰς, καὶ παρανυμφίους ἔχει.

591. Procus cùm obtinuit, ut sibi despondeatur, fit sponsus, & qvæ nubit, sponsa. Hæc suos pronubas & paranymphos, & nymphagogos: ille suos pronubos (proxenetas) & paranymphios habet.

φϟβ. Ἀπὸ τοῦ γάμου (τῶν νυμφείων) ὁ μὲν γαμέτης (ἀκοίτης) ἡ δὲ γαμετὴ (γαμέτις, ὄαρ) λέγεται· τῇ δευτέρᾳ (ὑστεραίᾳ) τὰ ἐπαύλια γίνεται.

592. A nuptiis hic maritus, illa marita (uxor) dicuntur: postridiè repotia fiunt.

φϟγ. Οἱ μὲν ἐκδόντες θυγατέρας, πενθε-

593. Qvi natam elocârunt, socer & so-

ρὲς, καὶ πενθεραί εἰσιν· ὁ δὲ γαμήσας, γαμβρός· ἡ δὲ γαμιθεῖσα, νυός· οἱ δ᾽ ἄλλοι ἀγχιστεῖς ἐντεῦθεν κηδεστῶν ἐπωνυμίᾳ ἀλλήλους συγκοσμοῦσιν· ὁ δὲ δαὴρ τῇ γάλῳ ἐντυγχάνει.

socrus sunt: qvi duxit, gener: qvæ nupsit, nurus: reliqvi agnati ex eo se affinium titulô cohonestant: levir glorem compellat.

φϙδ´. Μὴ ἡσθείσης τῆς συνοικήσεως, ἐξουσία ἐδόθη πρόπαλαι, ἀποπέμψασθαι τὴν νυμφευθεῖσαν, καὶ ἐγένετο ἀποπομπὴ, καὶ διαζύγιον· ἀλλ᾽ οὐδὲν ἄλλο, πλὴν ἡ τοῦ βίου τελευτὴ, διαζεύγνυσι σήμερον.

594. Si connubium non arrisit, integrum fuit pridem, nuptam repudiare fiebátqve repudium, atq; divortium: at hodiè nîl, nisi alterutrius obitus, sejungit.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ πεντηκοστὸν πέμπτον.

ΠΕΡΙ ΤΗΣ ΑΠΟΚΥΗΣΕΩΣ, Η λοχείας.

CAPUT QVINQVAGESIMUM QVINTUM.

DE PUERPERIO.

φϙε. Ὥσπερ τὸ γένος, τό τε ἄρρεν, καὶ τὸ θῆλυ, οὕτω καὶ ἡ συναφὴ (συνάφεια) ἡ γαμή-

595. Ut sexus masculinus & fœmineus, ita conjugalis copula,

λιος, καὶ ὁ θάλαμος, τῆς γονῆς ἐστιν ἕνεκα.

thalamúsqve, prolis causâ est.

Φϟϛ. Ὁ ἀνὴρ ἐν ἀσκῷ μὲν τὸ σπέρμα, ἡ δὲ γυνὴ ἔγκυος ἔσα (ἡ λοχὸς) ἐν τῇ κοιλίᾳ (μήτρᾳ, ὑστέρᾳ) τὸ κύημα φέροντες, πότερος μεῖζον ποιεῖ;

596. Vir in utre, semen, mulier gravida in utero (matrice, vulva) fœtum gestantes, uter plus præstat?

Φϟζ. Αὕτη δήπου· μὴ γὰρ ἀπαμβλοῦσα, υἱοὺς (κόρους) καὶ κόρας ἀποτίκτει, ἐνίοτε καὶ διδύμους.

597. Hæc profectò: qvæ nisi abortit, filios & filias enititur, qvandoq; geminos sive gemellos.

Φϟη. Ἡ λεχὼ (ἡ λοχεύτρια) ἑβδομάδας ἐνδομυχεῖν (οἰκουρεῖν) ἕξ, τῷ νόμῳ κατέχεται.

598. Puerpera sex septimanis (hebdomadis) latitare lege tenetur.

Φϟθ. Ὁ γονεὺς γεννᾷ, καὶ ἡ μήτηρ λοχεύει καὶ τίκτει· ἄμφω δὲ τρέφετον, φιλεῖτον, κύσον, καταφιλεῖτον, καὶ ἐπὶ κόλπον ἀναθάλπετον.

599. Pater gignit; mater parturit ac parit; ambo educant, basiant, svaviant, osculantur, in sinu gremióq; refovent.

χ. Ὁ ἐπιπάτωρ, καὶ ἡ μητρυιά, τοὺς ἀμφιγόνους οὐχ ὡσαύτως ἀγαπῶσιν. ὅτι οὐδέτερος γεννήτωρ, ἢ γεννήτειρα ἐστί.

600. Vitricus & noverca privignos non eôdẽ modô diligunt, qvia neuter genitor aut genitrix est?

ΚΕΦΑΛΑΙΟΝ ΤΟ πεντηκοστὸν ἕκτον.

CAPUT QVINQVAGESIMUM SEXTUM.

ΠΕΡΙ ΤΗΣ ΣΥΓΓΕΝΕΙΑΣ.

DE COGNATIONE.

χα. Οἱ τῆς αὐτῆς γενεᾶς καὶ γένους ὄντες, συγγενεῖς, καὶ αὔθαιμοι (ὅμαιμοι) λέγονται. οἷον οἱ ἀδελφοὶ, καὶ αἱ ἀδελφαὶ, μάλιστα αὐτάδελφοι [ὁμογάστριοι γὰρ, οὐκ ἰσότιμοι τούτοις] ὁ πάππος, καὶ ἡ τήθη.

601. Qvi ejusdem sunt progeniei & prosapiæ, cognati & consangvinei dicuntur: ut sunt, fratres, & sorores [præsertim germani: nam uterinos esse, non tanti habetur] avus, & avia.

χβ. Ὁμοίως ὁ πρόπαππος καὶ ἡ προτήθη, ὁ ἀπόπαππος, καὶ ἡ ἀποτήθη, ὁ ἐπίπαππος (δίσπαππος) καὶ ἡ ἐπιτήθη· τοὺς δ' ἀνωτέρω ὄντας, προγόνους καλοῦμεν.

602. Item, proavus, & proavia, abavus & abavia, atavus & atavia: qvi suprà sunt, majores vocamus.

χγ. Οἱ δὲ πλευρόθεν, ὁ θεῖος καὶ ἡ θεία πρὸς πατρὸς, ὁ θεῖος καὶ ἡ θεία πρὸς μητρὸς, οἱ ἀνεψιοὶ πρὸς πατρὸς, καὶ οἱ ἀνεψιοὶ πρὸς μη-

603. Collaterales verò sunt, patruus & amita, avunculus & matertera, patrueles, sobrini

con-

τρὸς, καὶ οἱ ἐξάδελφοι.

(consobrini) & amitini.

χδ. Ἐν τῷ τῶν καθιόντων εἱρμῷ εἰσιν, ὁ ἔγγονος, καὶ ἡ ἐγγόνη, ὁ προέγγονος, καὶ ἡ προεγγόνη, ὁ ἀπέγγονος καὶ ἡ ἀπεγγόνη, ὁ δισέγγονος, καὶ ἡ δισεγγόνη, μεθ' ὅλης τῆς ἀπογονῆς. (μεθ' ἁπάντων τῶν ἐπιγινομένων.)

604 In descendentium serie sunt, nepos & neptis, pronepos & proneptis, abnepos & abneptis, atnepos & atneptis, cum totâ posteritate (cum omnibus posteris.)

χε. Τινὲς ἀμοιροῦντες τῶν ἀπογόνων (ἄτεκνοι ὑπάρχοντες) καὶ ὑστερούμενοι τῶν κληρονόμων, ἐξωτικοὺς (ἀλλοτρίους) υἱοθετοῦσι· τοὐναντίον τινὲς, τοὺς σφετέρους δι' ἀπείθειαν ἀποκλήρους ποιοῦσι, καὶ ἀποκηρύττουσι.

605. Sunt, qvi cùm careant sobole (liberis) ac hæredibus destituantur, extraneos adoptant: sunt econtrà, qvi suos, ob inobedientiam, exhæredant, abdicántq;.

χϛ. Περιλιμπανομένοις ὀρφανοῖς, καὶ τοῖς ἐλάττοσιν εἰκοσιπέντε ἐνιαυτῶν, εἰς σωθήσεσθαι τὴν κληρονομίαν ἐξ ἀδιαθέτου αὐτοῖς προσφερο-

606. Superstitibus pupillis (orphanis) & minorennibus, conservandæ hæreditatis ab intestato ad eos devolutæ gratiâ, cujus

μένην [ἧπερ καὶ οἱ ὀψίγονοι μέτοχοί εἰσιν, οἱ δὲ μητρόξενοι, καὶ νόθοι οὐδαμῶς] ἐν διαθήκῃ ἐπίτροποι δίδονται.

jus & posthumi participes sunt, minimè verò spurii & nothi] tutores testamentô dantur.

χζ. Οἱ πιστῶς πράξοντες, ἀπογραφὰς ποιοῦσι.

407. Qvi, si ex fide agent, repertoria (inventaria, regesta) faciunt.

χη. Τῷ δὲ διατιθεμένῳ δύναμις ἂν εἴη, τὰ ὑπάρχοντα αὐτοῦ μερίζειν, καὶ διατίθεσθαι, καὶ καταλείπειν, ὅτῳ δὴ ἂν δόξειεν, ἢ τὸ ἥμισυ (τὸ ἡμίλιτρον) ἢ τὸ τριτημόριον, ἢ τεταρτημόριον, ἢ ἑκτημόριον, ἢ ἥμισυ, καὶ τεταρτημόριον τῆς λίτρας.

608. Testanti interea facultas est, facultates suas partiendi, deq; iis dispensandi & legandi, cui videtur, dimidium, (semissem) trientem, qvadrantem, sextantem, dodrantem assis.

ΚΕΦΑΛΑΙΟΝ πεντηκοστὸν ἕβδομον.

ΠΕΡΙ ΤΗΣ ΟΙΚΟΝΟΜΙΑΣ.

CAPUT QVINQVAGESIMUM SEPTIMUM.

DE OECONOMIA.

χθ. Ὁρίζει ἡ οἰκονομική, πῶς τὸν μὲν οἰκοδεσπότην, καὶ τὴν οἰκοδέσποιναν, αὐτούς τε, καὶ

609. Oeconomica præscribit, qvomodo pater & materfami-

li-

τὺς οἰκονόμυς αὐτῶν, τὸν οἶκον (τὴν πατριὰν) καὶ τὴν πενεστείαν διοικεῖν, τὺς δὲ θεράποντας, καὶ τὰς θεραπαίνας ὑπακύειν πρέπει.

liâs, horúmq; dispensatores (œconomi) familiam & famulitium administrare, famuli & famulæ obedire debeant.

χι. Δῦλος (λάτρις) μέν ἐστιν, ὁ δυλεύων (λατρεύων) τῷ ἑῷ δεσπότῃ [οἱ δὲ γεγονότες ἀπ᾽ αὐτῦ, οἰκογενεῖς, καὶ οἰκοτρίφαι εἰσίν] αἰχμάλωτον δὲ, ἐφ᾽ ῦ ζωῆς καὶ θανάτυ ἐξυσία ἐστίν· ἀπελεύθερος δὲ, ὁ ἀπελευθερωθείς.

610. Servus eſt, qvi hero ſuo ſervit [nati autẽ ejus, vernæ ſunt] mancipium, in qvem vitæ & necis poteſtas eſt: libertus manumiſſus.

χια. Ποιῦντι τὸ ἔργον, τὸ μέτρημα αὐτῦ ὀφείλεται, τὸ καθημερινὸν, τὸ μηνιαῖον, τὸ ἔτειον.

611. Penſum facienti dimenſum ſuum debetur, diurnũ menſtruum, annuum.

χιβ. Ὑπείκυσι πολλὰ τοῖς τέκνοις οἱ γονεῖς.

612. Liberis multa parentes indulgent.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ πεντηκοστὸν ὄγδοον.

CAPUT QVINQVAGESIMUM OCTAVUM.

ΠΕΡΙ ΤΟΥ ΑΣΤΕΟΣ.

DE URBE.

χιγ. Τὸ ἄςυ τὰ τείχη, τὰ χώματα, οἱ χάρακες, οἱ σκόλοπες, καὶ οἱ προμαχῶνες ἐχυροῦσι.

613. Urbem mœnia, aggeres, valla, & valli, propugnaculáq; muniunt.

χιδ. Τὸ διάςημα (τὸ μέσον) τὴν τάφρον ἔχει· τὸ ἐντείχιον εἴσω ἐςὶν, ἣ πρὸς τὰ τείχη προσαγωγὴ (πρόσβασις τοῖς πολίταις διαπετάννυται.

614. Intervallum (interſtitium) habet foſſam: pomœrium intrò eſt, qvâ civibus ad mœnia patet acceſſus.

χιε. Ἡ πύλη κλεῖθρα ἔχει, καὶ δικλίδας, καὶ ἔμβολα, καὶ καταῤῥάκτας.

615. Porta habet clauſtra ſua, valvas, repagula & cataractas.

χιϛ. Αἱ πλατεῖαι (αἱ ῥύμαι) καὶ αἱ ἀγυιαὶ λιθόςρωτοί εἰσιν, ὥσπερ καὶ ἡ ἀγορὰ, σὺν ταῖς ςοαῖς (παςάσιν) εἰς τὸ μὴ εἶναι πηλώδεις τοὺς περιπάτους.

616. Plateæ & vici lapide ſunt ſtrati, ut & forum, cum porticibus, ne lutoſæ (lutulentæ) ſint ambulationes.

χιζ. Τὰ ςενὴ, ὡς ἐπὶ τὸ πλεῖςον, ἀδιόδευτα (ἀπέρατα) ἐςί.

617. Angiportus ut plurimùm impervii ſunt.

χιη. Τοῖς προαςείοις τὸ ἄςυρον μεγεθύνεται, τοῖς πύργοις δια-

618. Suburbiis oppidum ampliatur, turribus decoratur: potis-

πρέπει, μάλιστα τοῖς τειχειόσι, καὶ κορυφωθεῖσιν.

tissimùm, si muratæ sunt & fastigiatæ.

χιθ. Οὐ πάντες ἔνοικοι τῷ προνομίῳ χρῶνται· ἀλλ' οἱ ἐγγενεῖς, καὶ οἱ τοῖς πόλεως μέτοχοι.

619. Non cuncti incolæ privilegiati sunt, sed indigenæ & municipes.

χκ. Τούτων τινὲς ἀνείσφοροι, καὶ ἀλειτούργητοί εἰσιν, ἰδίᾳ ζῶντες (ἰδιάζοντες.)

520. Ex his qvidam à censu & oneribus publicis immunes, sibi privatim vivunt.

χκα. Οἱ ξένοι (ἀλλοδαποὶ) καὶ οἱ μέτοικοι, ὑποτελεῖς.

621. Peregrini & inqvilini sunt vectigales.

χκβ. Ὁ ναὸς (τὸ ἱερὸν) ἡ ὁπλοθήκη, τὸ ταμιεῖον δημόσιον, οἱ σιτοβολῶνες, ἰσχύς εἰσι τῆς πόλεως.

622. Templum, armamentarium, ærarium publicum, granaria, civitatis robur sunt.

χκγ. Ὁ λάκκος (τὸ ἐνδοχεῖον) τὰ ὡρολόγια, τὰ διδασκαλεῖα (αἱ σχολαὶ) εὖ καθεστηκότα, ἐπιστασίας καλῆς τεκμήριον (δεῖγμά) εἰσιν.

623. Cisternæ, horologia, scholæ, benè ordinata, belli regiminis indicium (indicina, documentum) sunt.

χκδ. Ὀπίσω μὲν τοῦ δικαστηρίου εἴωθε τεθῆ-

624. Ponè prætorium custodia poni lo-

ναὶ ἡ φυλακή. ἐν τοῖς δὲ ἀναχωρήμασιν οἱ ἀφεδρῶνες, οὓς κορεῖ ὁ λασανοκόρος.

ſolet: in receſsibus foricæ, qvas foricarius repurgat.

χκε. Τὰ μὲν πανδοχεῖα (καταλύματα) τὰ καπηλεῖα, καὶ τὰ ὀψοπώλια, ἐπὶ τοῖς προσηλύτοις (ἐπηλύτοις) εὐτρεπίζονται· τὰ δ᾽ ἄσυλα (κρησφύγετα) ἐπὶ τοῖς ὑπαιτίοις· τὰ δὲ ξενοδοχεῖα, καὶ πτωχοτροφεῖα, ἐπὶ τοῖς πενιχροῖς.

625. Diverſoria, cauponæ, popinæ pro advenis parantur: aſyla (refugia) pro ſontibus: xenodochia, & ptochotrophia, pro pauperibus.

χκϛ. Ἡ βασιλικὴ, σηκός ἐστιν, ἢ δῶμα σεμνὸν καὶ σεβάσμιον.

626. Baſilica eſt ædes, vel domus auguſta.

χκζ. Ἡ σκοπὴ (σκοπία) ἐν μετεώρῳ ἱστάσθω τόπῳ· οἱ δὲ φύλακες (φρουροὶ) ἄγρυπνοι ἔστωσαν.

627. Specula in editiore loco ſtatuatur, vigiles autem ſint vigiles.

χκη. Οἱ γείτονες, καὶ οἱ πλησίον, ἀμοιβαῖα ἀλλήλοις ὑπηρετήματα ὀφείλουσι.

628. Vicini atqve propinqvi mutua ſibi miniſteria debent.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ πεντηκοστὸν ἔννατον.

CAPUT QVINQVAGESIMUM NONUM.

ΠΕΡΙ ΤΟΥ ΝΑΟΥ.

DE TEMPLO.

χκθ. Ὁ ναοφύλαξ (ἱερόδουλος, ζάκορος, νεωκόρος) τῷ τῶν ἠχείων τῶν κεχαλκωμένων κρούματι, ἐπὶ ἱερὰ συγκαλεῖ τὴν ἄγυριν (τὸν ὅμιλον.)

629. Æditūus (æditimus) campanarum ænearum pulſu cœtum ad ſacra convocat.

χλ. Συνελθόντος τοῦ πλήθους, ὁ τῶν ἀοιδῶν χορὸς, παρὰ τὴν θυμέλην σταντων, ψαλμοὺς καὶ ὕμνους (ᾠδὰς, ἄσματα) πνευματικοὺς ᾄδει.

630. Ubi multitudo convenit, cantorum ad pluteum ſtantium chorus pſalmos & hymnos (cantilenas) ſpirituales decantat.

χλα. Ὁ ἐκκλησιαστὴς ἀπὸ τοῦ βήματος ἐπικαλέσας τὸ Πνεῦμα τὸ ἅγιον, περικοπήν τινα ἐκ τῶν Βιβλίων ἑρμηνεύει ἀγορεύων, τὰς γραφὰς ἀμφοτέραιν διαθήκαιν, ἐκ βίβλων κανονικῶν, καὶ ἀποκρύ-

631. Concionator (Eccleſiaſtes) è ſuggeſtu Spiritum Sanctum invocat, textum e Bibliis concionando interpretatur: Scripturas utriusq; Teſtamenti, ex libris tàm Canonicis, qvàm Apocry-

φων ἐπάγεται, κατὰ τὴν τῶν δέκα ἐντολῶν (τοῦ Δεκαλόγου) διατύπωσιν, ἐπὶ τὴν μετάνοιαν (μετάγνωσιν) παρηγορεῖ, καρδίας συντετριμμένας, τῇ πληροφορίᾳ καὶ ἀγαθοποιΐᾳ τοῦ Χριστοῦ Ἰησοῦ παρακαλεῖ. Τοῦτον τὸν τρόπον κηρύσσων τὸ Εὐαγγέλιον, καὶ θεοσέβειαν τὴν καθολικὴν τοὺς ἀκροατὰς ὀρθῶς ἐνδιδάσκων.

χλβ. Ποιήσας τὴν δέησιν (προσευχὴν) τὰς ἑορτὰς (ἡμέρας τὰς ἑορτασίμους) κινητάς τε, καὶ ἀκινήτους ἐπαγγέλλει, καὶ ὁμιλίαν [ὅσῳ συχνοτέραν, τοσούτῳ ἀγαπητοτέραν οὖσαν] ἀπαλλάττει.

χλγ. Ἐσθ᾽ ὅτε κατηχίζει (κατηχεῖ) ἐσθ᾽ ὅτε βαπτίζει ἐπὶ τῷ βαπτιστηρίῳ, ἑτέρωθι μὲν μετά, ἑτέρωθι δὲ χωρὶς τοῦ ἐξορκισμοῦ [ἀδιάφορον γὰρ] παραγι-

phis, citat; ad pœnitentiam (resipiscentiam) juxta decem Præceptorum (Decalogi) tenorem hortatur. contrita corda satisfactione meritóq; Christi Jesu solatur: hôc scilicet modô Evangelium prædicans, & Catholicâ Religione auditores ritè imbuens.

632. Peractâ precatione (oratione) festa (dies festos) mobilia & immobilia (stata) indicit, & concionem (qvæ qvò freqventior, eò charior) dimittit.

633. Nonnunqvam catechizat, nonnunqvam baptizat ad Baptisterium, alibi cum, alibi sine exorcismô (adiaphorum enim est) præsentibus susce-

νομένων τῶν ἀναδόχων (ἀναδοχέων) ἔσθ' ὅτε τὸ Δεῖπνον ἱερὸν (τὴν σύναξιν, τὴν εὐχαριστίαν) λειτουργεῖ.

ptoribus, nonnunqvã Sacram Cœnã (Synaxin, Evchariſtiam) miniſtrat.

χλδ. Ἀφίησι (ἀπολύει) τοὺς μετανοοῦντας, (μεταμελομένους), τῶν μυστηρίων ἀπείργει τοὺς ἀμετανοήτους· τοὺς δ' ὑποκριτὰς τῷ συνειδότι (τῇ συνειδήσει) αὐτῶν παραβάλλει, ἢ ἐπιτρέπει.

634. Abſolvit pœnitentes, (reſipiſcentes,) à Sacramentis arcet impœnitentes, hypocritas conſcientiæ ſuæ committit.

χλε. Τὰ ἐγκαίνια, καὶ αἱ καθιερώσεις, καὶ αἱ δημοθοινίαι αἱ ἐνιαύσιοι σὺν θαλείᾳ ὀφειλομένῃ ἑορτάζονται, ἡμέρας δύο, ἢ τρεῖς, ἢ τέσσαρας, ἢ ὀκτώ.

635. Encænia, dedicationésq;, & anniverſariæ ſolemnitates, debitâ feſtivitate celebrantur biduò, triduò, qvatriduò, aut octiduò.

χλϛ. Αἱ ἁγιστεῖαι (αἱ τελεταὶ) αἱ αὐταὶ οὐκ εἰσὶ παρὰ πᾶσιν, οὐδὲ ὁ θεσμὸς ὁ αὐτὸς τοῦ τάξαι, καὶ μυῆσαι τοὺς τῆς Ἐκκλησίας διακόνους· ἀλλ' ἡ ἀνομοιότης αὕτη, ἀβλαβής ἐστι.

636. Ceremoniæ non apud omnes eædem ſunt, nec ordinandi & initiandi Eccleſiæ miniſtros mos idem: ſed disparitas hæc innoxia (innocua) eſt.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ ἑξηκοστόν.

CAPUT SEXAGESIMUM.

ΠΕΡΙ ΤΗΣ ἘΚΚΛΗΣΙΑΣ.

DE ECCLESIA.

χλζ. Ὁ πάροχος (πάροικος) τῆς ἑῆς παροικίας ἔφορός ἐστι· πάσης δὲ διοικήσεως ὁ ἱεροφάντης. (ἱεράρχης.)

637. Parochus (parœcus) est suæ parœciæ inspector, totius autem diœcesis antistes.

χλη. Οἱ μὲν πρόεδροι, οἱ ἀββᾶτες (ἀρχιμανδρῖται) οἱ προεστάται, οἱ προστερεύοντες, τοῖς μοναχοῖς τὰς κεφαλὰς καλύμμασι περιθεμένοις, καὶ τοῖς μοναστηρίοις (κοινοβίοις) αἱ δὲ ἀρχιμανδρίτιδες ταῖς μοναστηρίαις (ἑστιᾶσιν) οἱ δὲ καλιερεῖς ταῖς καλιαῖς, οἱ δε διάκονοι ταῖς λογίαις, καὶ ἐλεημοσύναις ἐπιστατοῦσιν.

638. Præsules, Abbates (Archimandritæ) Præpositi, Priores, cucullatis monachis, monasteriisq; (cœnobiis) Abbatissæ monialibus (vestialibus) Sacellani sacellis, Diaconi collectis & eleemosynis præsunt.

χλθ. Αἱ ἀπαρχαὶ, καὶ αἱ δεκάται τοῖς ἱερεῦσι καὶ πρεσβυτέροις προσφέρονται· οἱ ἐρημῖται ἢ, ἀναχωρηταὶ,

639. Primitiæ & decimæ Sacerdotibus & Presbyteris offeruntur: Eremitæ seu ana-

τὴν ἔρημον ἐνοικοῦσιν, (ἐρημάζουσιν.

χμ. Ἐπίσκοποι οἱ ὀρθόδοξοι τὰ σχίσματα καὶ τὰς ἀκολουθίας ἐν ταῖς συνόδοις συναλλάττουσι, καὶ τὰς αἱρέσεις καταδικάζουσι, τοὺς μὲν αἱρετικοὺς καὶ τοὺς σχισματικοὺς, καὶ τοὺς καινοδόξους ἀπεγνωσμένους, ἅμα τοῖς ἀκολούθοις αὐτῶν, καὶ τοὺς ἀποστάτας, ἑνώσεως τῆς ἐκκλησιαστικῆς ἀποκηρύττοντες, τὸν δὲ τῆς διδαχῆς κανόνα διασφαλίζοντες.

choretæ eremum inhabitant.

640. Epiſcopi orthodoxi in conciliis (ſynodis) ſchiſmata & ſectas componunt, & hæreſes damnant; hæreticos qvidẽ atq; ſchiſmaticos, & novatores conclamatos (deploratos)cum aſſeclis,apoſtatásq; abEccleſiæ Chriſtianæ unione excommunicantes, Doctrinæ autem canonem conſtabilientes.

ΚΕΦΑΛΑΙΟΝ ἑξηκοστὸν πρῶτον.

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΕΘΝΙΚΩΝ, ΚΑΙ τῶν Ἰουδαίων Θρησκείας.

CAPUT SEXAGESIMUM PRIMUM.

DE ETHNICORUM JUDÆOrúmq; ſuperſtitionibus.

χμα. Οἱ ἔξωθεν (ἐθνικοὶ) ἱεροποιοὶ [ὧν κακόζηλοί εἰσιν ἐν τοῖς δέ-

641. Pagani (gentiles, ethnici) ſacrificuli, [qvorum æmula-

πολατρείας, καὶ χρίσματος, καὶ ἄλλων ἐθελοθρησκειῶν, ὡς οἴονται, μυστηρίοις, οἱ ἀμφὶ τὸν ἀρχιερέα τὸν ῥωμαϊκὸν] ἐν τοῖς ἱδρύμασι, καὶ ἄλσεσιν, ἐπὶ βωμοῖς (θυσιαστηρίοις) τὰς θυσίας (τὰ θύματα, τὰ ἱερῆα) αὐτῶν ἔθυον, τὰς λοιβὰς ἔσπενδον (τὰς σπονδὰς ἔλειβον, ἢ ἐποιοῦντο) λιβανωτὸν ἀνήνεγκαν, καὶ ἐθυμίων, καὶ τοίως τοῖς εἰδώλοις καλλιεροῦντες, καὶ ὕδατι καθαρσίῳ καθαίροντες· τὰ ἀσεβήματα ἱλάσκεσθαι ἐπείρων· ἀλλὰ βδέλυγμα ἦν.

tores mali ſunt Pontificii Romanenſes, in miſſæ, & unctionis, aliorúmq; cultuum voluntariorum, ut putant, myſteriis] in delubris, lucisqvè ſuper aras (altaria) ſacrificia ſua (hoſtias, victimas) immolabant, libamina (libamenta) libabant, thura offerebant, & adolebant, & taliter idolis ſuis litantes, luſtrali; aqvâ ſeſe luſtrantes, piacula expiare conabantur: ſed abominatio fuit.

χμβ. Βέβηλα προσηγόρευον, οἱονεὶ ἀνίερα, καὶ ἀνοσίαστα (οὐ καθοσιωθέντα) ὅσα ἦν ἔξω τοῦ βηλοῦ τοῦ νεώ.

642. Profanum appellabant, ceu minùs ſacrum & nonconſecratum (dicatum) qvicqvid extra fani limen eſſet.

χμγ. Καὶ ὁ μὲν ἱεράρχης ἐνέβαινεν εἰς τὸ ἱερατεῖον (ἄδυτον) καὶ τιά (στέμματι) κε-

643. Et Pontifex qvidem cũ infulâ (infulatus) ſacrarium (adytum) intrabat: flami-

mi-

κοσμένος· οἱ δ' ὀργιῶνες θυμιατηρίῳ (ἐσχαρίῳ) ἐπιθυμίων, κυμβάλοις, κωδῶσι, καὶ κροτάλοις ἀλαλάζοντες. (κυμβαλίζοντες, κωδωνίζοντες, καὶ κροταλίζοντες.)

mines autem thuribulô (acerrâ) suffiebant, cymbalis, tintinnabulis (nolis) crotalisqve tinnientes.

χμδ. Οἱ μάντεις αὐτῶν καὶ αἱ ψευδοπροφήτιδες, καὶ αἱ ἀγνεύτριαι, ἐμαντεύοντο, καὶ τὰ ἐσόμενα προέφησαν, οὐ μὲν κατακωχῇ καὶ ἐπιπνοίᾳ τοῦ θείου, διὰ ἐνθουσιασμοῦ, καθάπερ οἱ προφῆται τοῦ Ἰσραήλ· ἀλλὰ δι' οἰωνίσματος (ὀρνιθείας, οἰωνοσκοπίας) καὶ σπλαγχνοσκοπίας, καὶ κληρώσεως δεισιδαίμονος.

644. Vates eorum, sagæ, & piatrices vaticinabantur, & futura prædicebant non ex Numinis instinctu aut afflatu (inspiratione) per raptum, ut Prophetæ Israëlis, sed ex auspiciis (auguriis) aruspicinâ, sortibúsq; (sortilegiis) superstitiosis.

χμε. Ἀφ' οὗ οἰωνοσκόποι (οἰωνομάντεις) καὶ σπλαγχνοσκόποι, καὶ κληρωταὶ (κυαμευταὶ) καλούμενοι. σπλαγχνι-

645. Inde auspices (augures) arioli (aruspices) sortilegi dicti:

κοπεῖν δὲ, καὶ οἰωνοσκοπεῖσθαι, χρησμῳδεῖν ἐστιν.

ariolari verò & augurari divinare est.

χμϛ. Εἶχον δὲ καὶ τοὺς χρηματισμοὺς, ἀλλὰ ψευδομένους, καὶ ἐκ τοῦ κακοδαίμονος ἐκπεπορευμένους.

646. Habebant & oracula, sed erronea, à Vejove profecta.

χμζ. Τεθνηκότας ἥρωάς τε, καὶ ἡρωΐνας, ἀπεθέουν.

647. Demortuos heroas, heroinásqve Divis accensebant.

χμη. Οἱ μὲν Ἰουδαῖοι, ἐν ταῖς συναγωγαῖς τὰς ἀκροβυστίας περιτέμνουσιν, ἐν τῇ τοῦ σαββάτου ἡμέρᾳ ἀργοῦσι, καὶ πλὴν τοῦ πάσχατος καὶ τῆς πεντηκοστῆς τὴν σκηνοπηγίαν ἁγιάζουσιν· οἱ δ' ἀναβαπτισταὶ ἐνθουσιαστικοί εἰσι.

648. Judæi in synagogis præputia circumcidunt, Sabbatô feriantur, Scenopegia præter Pascha ac Pentecosten celebrant: Anabaptistæ fanatici sunt.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ ἑξηκοστὸν δεύτερον.

ΠΕΡΙ ΤΟΥ ΒΟΥΛΕΥΤΗΡΙΟΥ.

CAPUT SEXAGESIMUM SECUNDUM.

DE CURIA.

χμθ. Ἐν τῷ βουλευτηρίῳ ἡ γερουσία, καὶ τῆς πολιτείας ἐπιμέλειαν (πρόνοιαν) ποιεῖται. (ἔχει)

649. In curiâ Senatus consessus suos, & de Republicâ (politia) curas agunt.

χν. Ἐκεῖ φυλάσσεται τὸ ληξιαρχικὸν (ἡ τῶν πολιτῶν ἀπογραφὴ) καὶ τἄλλα γραμματεῖα.

650. Asservatur ibidem album (matricula civium) & aliæ tabulæ publicæ.

χνα. Ὁ μὲν ὕπατος, ἤτοι ὁ ἀνθύπατος τὰ βουλευτὰ προΐσταται, οἱ δ' ὑπατικοὶ, καὶ οἱ γερουσιασταὶ (βουλευταὶ) τὰς γνώμας ἀποφαίνονται. Καὶ οἱ μὲν χαμαιβουλεῦται κατανεύουσιν· ἐκεῖνος δὲ συμπεραίνεται.

651. Consul aut Proconsul deliberanda proponit, Consulares & Senatores sententias dicunt. Pedarii annuunt, ille concludit.

χνβ. Ὁ ἀρχιγραμματεὺς σὺν τοῖς σημειογράφοις καὶ συμβολαιογράφοις, δρυφάκτοις καταδρυφακτόμενος, τὰς πραγματείας συσσημαίνει· καὶ οὕτως ἕκαστος τὸ ἔργον αὐτοῦ ποιεῖ (ἐπιτελεῖ τὰ καθήκοντα ἀποτελεῖ.)

652. Archigrammateus cũ Actuariis, & Notariis, cancellis septus, acta consignat: & ita qvisq; suô munere fungitur.

χνγ. Λειτουργοὶ αὐτοῖς εἰσιν οἱ ἐκβιβασαὶ, οἱ κλήτορες, οἱ κλητῆρες, οἱ γραμματεῖς, καὶ οἱ κήρυκες.

653. Miniſtratores illis ſunt apparitores, ſtatores, accenſi, ſcribæ, & præcones.

χνδ. Ὁ δῆμος εἰς φυλὰς καταπεταγμένος, τοὺς δημάρχους ἔχει, ὑφ' ὧν τεθειμένα τὰ ψηφίσματα θεσπίσμασι τῆς συγκλήτου ἐπικυροῦται.

654. Plebs in tribus diſtributa ſuos habet tribunos, per qvos lata plebiſcita Senatusconſultis ratihabentur.

χνε. Ἴσχουσι καὶ οἱ δημιουργοὶ τὰς φρατρίας, καὶ συλλόγους αὐτῶν, τάξεως χάριν, ὅπως ὁ νεαρὸς τεχνιτείαν ἐπαγγελλόμενος ἐπίδειξιν ποιῆται. (παρέαν διδῷ) τοῖς φρατριάρχοις.

655. Habent & opifices curias ſeu collegia ſua, ordinis causâ: ut novitius artificium profeſſus det ſpecimen curionibus.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ ἑξηκοστὸν τρίτον.

CAPUT SEXAGESIMUM TERTIUM.

ΠΕΡΙ ΤΗΣ ΔΙΚΗΣ.

DE JUDICIO.

χνϛ. Δυοῖν περὶ τοῦ διαμερίζειν τὴν κληρο-

656. Duobus de familiâ hercifcundâ vel

νομίαν, ἢ ὁποιασδήποτε ἀμφισβητήσεως διαςάντοιν, τὸν τρίτον μεσιτεύειν ἀνάγκη, τὸν διαλύσοντα, καὶ διαληψόμενον τὴν τῶν φιλονεικούντων ἔριν· ἄλλως οἱ ἀγῶνες, καὶ τὰ νείκη εἰς ἄπειρον εἴσονται.

χνζ. Ἄρα οὖν ἢ συμβάσει φιλικῇ προσεχέτων, καὶ ἐπιλεγέτων διαιτητὴν, τῇ διαίτῃ αὐτοῦ ἐπαναπαυσομένω ἀμφοτέρωθεν, ἢ πλησιαζέτων τῇ ἀγορᾷ, καὶ δίκην λαγχανέτων.

χνη. Ὁ δίκην γράφων τῷ ἀντιδίκῳ (ὁ κατηγορίαν ποιούμενος κατὰ τοῦ ἀντιδίκου) καλεῖ καὶ ὑπάγει αὐτὸν [εἰ μὴ ἡμέρα εἴη ἀποφρὰς] πρὸς τὸν ἄρχοντα, τῆς ἀταθαλίας αὐτὸν αἰτιώμενός τε καὶ γραφόμενος. (τὴν βλάβην αὐτοῦ κατηγορῶν.)

vel de qvacunq; controversiâ disceptantibus, tertium intervenire necesse est, qvi dirimat, atq; altercantium litem diribeat: aliàs certamina & contentiones in infinitum ibunt.

657. Aut igitur compositioni amicabili studeant, & arbitrum deligant, cujus arbitriô (laudô) acqviescant utrinq;, aut sectentur forum & secum experiantur jure.

658. Qvi dicam scribit (impingit) adversario, citat & arcessit eum ad Prætorē [præterqvam nefastô die] insimulat & accusat noxæ.

χνθ. Διαλύσεως (συλλύσεως) ἀθετουμένης, πρὸς τὴν τοῦ κατηγόρου αἴτησιν, παρακαλεῖται ὁ κατηγορούμενος. καὶ παραφανέντος αὐτοῦ, κατηγορία καὶ ἀπολογία τῶν ἐριστικῶν, καὶ οἱ ἔλεγχοι αὐτῶν καταγινώσκονται· ἀπαρνουμένου δὲ τοῦ αἰτιηθέντος, ὁ διώκων μάρτυρας παρέχεται (προβάλλεται) ἱκανοὺς, τοῦτ᾽ ἐστιν, ὀμωμοκότας, εἰ μὴ ἀρκεῖ ἡ ἀξιοπιστία.

659. Pacificatione rejectâ, ad actoris petitionem accersitur reus; qvô comparente, accusatio & excusatio contentiosorũ, ut & probationes illorum, cognoscuntur: si diffitetur accusatus, actor testes producit idoneos, h. e. juratos, si autoritas non sufficit.

χξ. Ὁ παράκλητος, ἢ ὁ συνηγορῶν μὴ ἀπολειπέτω τὸν πελάτην [ἅτε εἰς τὴν αὐτοῦ πελατείαν ἀναθέμενον αὐτὸν, καὶ τῇ συνηγορίᾳ αὐτοῦ χρώμενον] ἀλλὰ συνηγορείτω, καὶ ἀμυνέσθω ὑπὲρ αὐτοῦ· κατ᾽ ἐπιείκειαν δὲ (κατὰ τὸ ἐπιεικὲς) ἵνα μὴ δικορράφος (λαβραγόρης) ἀκούῃ. Ὁ ἐπίτροπος

660. Advocatus seu patronus clienté [utpote qvi se in clientelam ejus dicavit, ac patrociniô ejus utitur] ne destituat, sed patrocinetur, ac defendat, (propugnet) ex æqvo tamen & bono, ne rabula audiat. Procurator

(manda-

(ἐπιστάτης) παράγγελμα ὑποδεξάμενος, τοὺς ὅρους αὐτοῦ μὴ ὑπερπηδάτω.

mandatarius) qvi mandatum suscepit, fines ejus ne transiliat.

χξα. Διαφευγέτω καὶ τὰς προκαταγνώσεις ὁ δικαστὴς συντεταμένως, καὶ μήτε διαφθαρθεὶς δωροδοκήμασι (δεκασθεὶς, ἢ δωροδοκηθεὶς) μήτε παροξυνθεὶς ὑπὸ ὀργῆς, μήτ᾽ ἐκφοβηθεὶς δι᾽ ἀηδές τῶν ἄλλων, μήτε συκοφαντικαῖς τῶν ἐνδείκτων (συκαστῶν, ἢ φιλεγκλημόνων) ἐνδείξεσι προκατεχθεὶς, δεῦρο ἢ ἐκεῖσε προθήμως ἐχέτω· ἀλλὰ ψιλῶς, κατὰ τὴν τῶν μεμαρτυρημένων ἐνάργειαν δικαζέτω, μᾶλλον τῆς ἐπιεικείας, ἢ τοῦ ἀκριβοδικαίου ἀλέγων. (μᾶλλον πρὸς ἐπιείκειαν, ἢ ἀκριβοδίκαιον βλέπων.)

661. Vitet & Judex præjudicia maximoperè, neq; largitionibus corruptus, neq; irâ commotus, neq; offensâ aliorum deterritus, neqve sycophanticâ qvadruplatorum delatione præoccupatus, huc aut illuc propendeat: sed nudè secundùm probatorum evidentiam decernat, æqvitatis majorem, qvàm stricti (rigid.) juris, rationem habens.

χξβ. Παραγινομένων τῶν παρέδρων, τοῦ

661. Si adsessores adsunt, Præsidis est, ju-

μὲν προέδρου (προεστῶτος) ἐστὶ τὰς κρίσεις (ψήφους) συλλέγειν, ἐκείνων δὲ, φέρειν, ἀνειμένως μὲν, δικαίως δὲ, ὥστε κατακριθήσεσθαι μὲν τοὺς αἰτίους, τοὺς δ' ἀναιτίους δικαιωθήσεσθαι.

judicia colligere, illorum ferre, liberè, sed justè, ut sontes damnentur, insontes justificentur.

χξγ. Τὰ γὰρ δεδογμένα, καὶ διατάγματα συμφώνως ποιηθέντα, ἀνατίθεσθαι, μετατίθεσθαι, καὶ καθαιρεῖν, ἀπρεπές.

663. Nam decreta & edicta consensu facta retractare, revocare, ac rescindere indecens est.

χξδ. Διαλύσεως τῆς αἰτίας ἐξηγορευμένης, ὡς ὅτι ὤκιστα γίνοιτ' ἂν ὁ ἀποτελεσμός. πλὴν ἐὰν ὁ κατακριθεὶς διαμαρτύρηται, καὶ ἐκκαλούμενος τὴν δίκην, βῆμα (δικαστήριον) ἀνώτερον ἐπικαλῆται.

664 Causæ decisio ut promulgata est, ocyùs exseqvutio fiat: nisi condemnatus protestetur, & ad tribunal superius appellando provocet.

χξε. Ἀλλά γε καὶ κατεγγυῶσι τὸν ἐριστὴν, εἰς τὸ ἀντεξετάζειν αὐτόν.

665. Sed & vadantur litigatorem, ad sistendum se.

χξς. Ἐνίοτε καὶ ἀναβολὰς ποιοῦνται, διὰ

666. Interdum dilatio adhibetur, propter

τὰς μεσιτείας καὶ τὰς τῶν ἐγγυητῶν ἐγγύας (ἐγγυήσεις) καὶ τὰς ἱκανοδοσίας. Ὅσα δὲ καθεπαγγέλλεταί τις, διαπράξειν ἀναγκάζεται.

pter interceſſiones & vadum fidejuſſiones ut & ſatisdationes: ſed, qvod qvis ſpondet, præſtare tenetur.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ ἑξηκοστὸν τέταρτον.

CAPUT SEXAGESIMUM QVARTUM.

ΠΕΡΙ ΤΩΝ ΚΑΚΟΥΡΓΗΜΑΤΩΝ καὶ ζημιῶν.

DE MALEFICIIS ET SUPPLICIIS.

χξζ. Κατὰ τῶν παραβατῶν καὶ καταφρονητῶν τῶν διαταγμάτων ἐπιστροφὴν ποιητέον τῷ ζητητῇ καὶ ἁμαρτήμασιν ἐπιδήλοις τιμωρίαν δεῖ ἐπιτιθέναι, μὴ ἀπεῖναι εἰς ἄδειαν τὸ ἀτιμώρητον.

667. In prævaricatores ſtatutorúmqve contemtores à qvæſitore animadvertendum eſt, & notoriis peccatis multa (mulcta) irroganda, ne impunitas in licentiam abeat.

χξη. Τῷ κολάσειν καὶ καταλεύειν καὶ συστέλλειν τοὺς μοχθηροὺς εὑρέθησαν αἱ ῥάβδοι, αἱ μάστιγες, αἱ σκυτάλιδες, αἱ πέδαι, καὶ χειροπέδαι, οἱ κύφωνες, αἱ

668. Ad caſtigandos, coërcendos, atq; compeſcẽdos improbos inventæ ſunt, virgæ, flagella, taureæ, compedes, manicæ, numellæ, cippi,

ποδοκάκαι, τὰ ἐργαστήρια, τὰ δεσμωτήρια, αἱ βάσανοι, αἱ στρέβλαι, οἱ σταυροί· ὅπως ἀπὸ τῶν ῥαβδούχων, καὶ τῶν δημέων (δημοκοίνων) ἁρπαζόμενοι οἱ κακοῦργοι δεσμῶνται (δεσμεύωνται) συνείργωνται, ῥαβδίζωνται (ῥαπίζωνται) αἰκίζωνται, ξυλοκοπῶνται βασανίζωνται, ἀποστρεβλῶνται, ἢ καὶ θανάτῳ ζημιῶνται οἱ ἀνελπισθέντες. (οἱ εἰς ἀπόνοιαν καθεστῶτες.)

pi, ergastula, carceres, tormenta, fidiculæ, patibula: ut per lictores & carnifices, malefici (facinorosi) rapiantur, vinciantur (ligentur) constringantur, cædantur, verberentur, fustigentur, torqveantur, excrucientur, aut etiam morte afficiantur desperati.

χξθ. Οἱ μὲν γὰρ κλέπται, καὶ οἱ συληταί, καὶ οἱ ἀναδοχεῖς αὐτῶν, καὶ οἱ βαλαντιοτόμοι ἀναρτῶνται (τῇ ἀγχόνῃ ἀποκτείνονται) οἱ δὲ μοιχοὶ, καὶ οἱ δίγαμοι ἀποκεφαλίζονται, οἱ δὲ φονεῖς (ἀνθρωποκτόνοι) καὶ οἱ ξιφοκτόνοι, καὶ οἱ ἱερόσυλοι, τροχῷ ἢ σκελοκατάξει, ζημιῶνται [τὸ πάλαι ἐσταυρώθησαν] οἱ

669. Fures enim ac depeculatores eorumq; receptatores & manticularii suspenduntur (suspendiô necantur); mœchi atq; bigami decollantur; homicidæ, sicarii, & sacrilegi rotâ sive crurifragiô plectuntur (qvondã cruci affigebantur); par-

δὲ πατροκτόνοι καὶ μητροκτόνοι καὶ τεκνοκτόνοι, μετ' ἐχιδνῶν ἐνερραμμένοι κολεῷ (δορῷ) καταδύονται καὶ ἀποπνίγονται· αἱ γράες δὲ φαρμακεύτριαι (φαρμακίδες) καὶ αἱ λαμίαι, καὶ οἱ ἐμπρησταὶ ἐπὶ πυρᾷ (πυρκαιᾷ) κατακαίονται, οἱ δὲ συνομωμοκότες ἐπὶ τῇ πατρίδι, ὑπὸ τετραζύγων ἐπὶ τἀναντία ἐλαυνομένων διασπῶνται, καὶ τὰ ὄντα αὐτῶν δημεύεται (δημόσια γίνεται) οἱ δὲ διάβολοι καὶ βλάσφημοι κακοήθεις ἀπογλωττίζονται (γλωττομοῦνται) αἱ δὲ χαμαιτύπαι ἀσελγεῖς καυτῆρι ἐγκαίονται στίγματα.

ricidæ & infanticidæ cum ſerpentibus culeo inſuti & aqvis ſubmerſi ſuffocantur; anus veneficæ & lamiæ (ſtriges) & incendiarii pyra (rogô) cremantur: perduelles (perduellionis rei) qvadrigis in diverſum actis discerpuntur, bonáq; eorum publicantur (confiſcantur), calumniatores maligni & blasphemi elingvantur: proſtibulis impudicis cauteriô ſtigmata inuruntur.

χο. Κόλαφον ἢ κονδύλους λαβεῖν (κολαφίζεσθαι ἢ κονδυλίζεσθαι) δι' ὁποιονδήποτοῦν τυγχάνει σκαλάθυρμα, παιγνιῶδές ἐστι.

670. Colaphô ſeu alapâ cædi, ob qvidvis contingit: talitrum jocoſum eſt.

χοα. Παρηγορία τοῦ μόρου (τοῦ ἡμαίου, τιμωρήματος,) ὁ ἐξορισμός ἐστι, καὶ ἡ φυγαδεία.

671. Supplicii mitigatio, relegatio vel proscriptio est

χοβ. Τῶν ἀπολίδων (ἐκβληθέντων ἐκ πόλεως, ἢ πεφυγαδευμένων) καὶ τῶν ἐξορίστων, καὶ τῶν ἐκδότων, οἱ μὲν ἐν χώρῳ ὡρισμένῳ τὴν φυγὴν ὑπέχουσιν, οἱ δὲ, καθὼς καὶ οἱ φυγάδες, πλανῶνται καὶ οὐδαμοῦ ἐνίστανται.

672. Exulum (in exilium ejectorum) & exterminatorum extorrisimq; alii in loco determinato exulant, alii, ut fugitivi, nullibi consistunt.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ ἑξηκοστὸν πέμπτον.

ΠΕΡΙ ΠΟΛΙΤΕΙΑΣ ΒΑΣΙΛΙΚΗΣ.

CAPUT SEXAGESIMUM QVINTUM.

DE STATU REGIO.

χογ. Δυναστείας εἶναι διαφέρει ἅπασιν ἵνα μὴ καταπιέζῃ (βιάζῃ, καταδυναστεύει) τὸν ἀσθενέστερον ὁ δυνατώτερος ἀλλὰ μὴν ἑνὸς κρατοῦντος πάντων, μοναρ-

673. Potestates esse, omnium interest, ne potentior imbecilliorem opprimat: sed qvando unus rerum potitur, Monarchia

dici-

χία λέγεται, εἰ καὶ οἱ Καίσαρες (αὐτοκράτορες) αἱρεῖσθαι σφίσι συνάρχοντας φιλοῦσιν.

dicitur; qvanqvam Cæsares collegas sibi legere soliti sunt.

χοδ. Αὐτὸς μὲν, εἰ κατὰ τὸ τῶν θεσμῶν παρὰ τῶν νομοθετῶν τεθέντων καὶ ἀναγορευθέντων διάταγμα βασιλεύει, βασιλεύς· εἰ δὲ κατὰ τὴν αὐτοῦ γνώμην [ὡς ἐξεῖναι τὸ φίλον ὂν] καὶ ὑπὸ στεφάνῳ ἢ διαδήματι, καὶ σκήπτρῳ, Τύραννος.

674. Is, si ex legum à legislatoribus latarum atqve promulgatarum præscriptô regnat, Rex est: si ex libidine (ut, qvod libet, liceat) etiam sub coronâ aut diademate, sceptróq;, Tyrannus.

χοε. Ἡ ἕδρα (χώρα βασιλικὴ) αὐτοῦ ἐν μητροπόλει ἐστὶν, ὅπου ἐν θρόνῳ (θώκῳ) ἐλεφαντίνῳ ἢ ἐλεφαντοδέτῳ καθίζεται, βύσσον μὲν, ἢ σινδόνα, καὶ τήβενναν περιπόρφυρον, καὶ πολύκεστον μεγαλοπρεπῶς ἠσθημένος, τῷ δὲ τῶν αὐλικῶν στίφει περιστοιχιζόμενος.

675. Sedes ejus in metropoli est: ubi in solio sedet eburneo aut eborato, bysso vel sindone & trabea purpuratâ & acu pictâ magnifice vestitus, aulicorum verò catervâ stipatus.

χος. Ὧν οἱ μὲν βουλευταί εἰσιν, ἄλλοι τε καὶ οἱ ἐνδόμυχοι· οἱ δὲ ἐπιστάται· οἷον ὁ τῆς αὐλῆς ἔπαρχος, καὶ ὁ ἔφορος αὐλῆς, καὶ ὁ προστάτης τῶν συμβούλων [τοὺς τῶν ἀπορρήτων γραμματεῖς, καὶ τοὺς ὑπογραφεῖς ἔχων] οἱ ἐπίσταθμος· οἱ δὲ, ὑπηρέται, ὡς οἱ δαιτοφόροι, οἱ προγεῦσται, οἱ οἰνοχόοι, οἱ παρακοιμώμενοι, οἱ θυρουροὶ, οἱ ἡμεροδρόμοι.

676. Qvi vel ſunt Conſiliarii, tùm cæteri, tùm intimi (intrarii) vel Præfecti; ut Præfectus prætorio, Aulæ magiſter, Cancellarius [ſuos Secretarios, & amanuenſes (à manibus) habens] Magiſter ſtabuli: vel miniſtri; ut dapiferi, prægustatores, pocillatores, cubicularii, atrienſes, celeres. (à pedibus.)

χοζ. Ἄλλοσε πέμπει τοὺς ἐπιτρόπους αὐτοῦ, τοὺς σατράπας, τοὺς ταμίας, τοὺς ἐλλιμενιστὰς, τοὺς τελώνας, τοὺς παραγωγιαστὰς, καὶ τοὺς πρέσβεις, οἵτινες διπλώματι βασιλείῳ παρεσκευασμένοι πράττουσι τὰ πράγματα.

677. Aliorſum legat vicarios ſuos, ſatrapas, qvæſtores, decumanos, publicanos, portoriorũ conductores, & legatos, qvi diplomate Regiô inſtructi res gerunt.

χοη. Ἀντὶ τῶν κεκμηκότων ὑφίστανται (εἰς τὴν τῶν ἀπελθόντων τοῦ βίου τάξιν καθίστανται,

678. In defunctorum (mortuorum) locum ſubſtituuntur. (ſufficiuntur, ſurrogan-

ἢ ἀντικαθίστευνται) ἄλλοι, διάδοχοι λεγόμενοι.

gantur) alii, qvi successores dicuntur.

χοθ. Τὰ βασίλεια (ἀνάκτορα) αὐλαίαις μὲν καὶ περιστρώμασι καὶ τάπησι καὶ γραφαῖς, ἢ ζωγραφήμασι, μαρμαίρει (καταυγάζει) τῇ δὲ μουσικῇ περιηχεῖται.

679. Regiæ aulæis qvidem & peristromatis & tapetibus picturisq; refulgent (renident) personant autem musicâ.

χπ. Οἱ λογολέσχαι, καὶ οἱ φλύακες, καὶ οἱ μωροὶ, καὶ οἱ παράσιτοι, καὶ οἱ γνάθωνες, καὶ οἱ συκοφάνται, παραρτήματα τῶν αὐλῶν εἰσι· τῶν δ' εὐνούχων χρῆσις ἀπηθίσθη, καὶ ἀπηρχαιώθη.

680. Gerrones, nugigeruli, moriones, parasiti, gnathones, & sycophantæ, aularum appendices sunt: eunuchorum verò usus desvevit (obsolevit.)

χπα. Ἡ παμβασιλεία τοῦ φθόνου (τῷ φθόνῳ) ἔνοχος, ἢ ἐπίφθονος οὖσα, τὴν ἠπιότητα ἀντὶ φρουρᾶς (ἐν μέρει φρουρᾶς) ἔχει.

681. Majestas cùm invidiæ obnoxia seu invidiosa sit, clementiam præsidii vice habet.

χπβ. Οὐχ ὁμοίως φυλάττουσι τὸν ἄρχοντα οἱ δορυφόροι (ξυστοφόροι) οὐχ οὕτως ἀφνεύουσιν αὐτὸν οἱ πόροι (αἱ πρόσοδοι)

682. Non tam Principem satellites (spiculatores) tutantur, nec tam locupletant fisci reditus,

τοῦ δημοσίου, ἢ ἀποτεθειμένος θησαυρὸς (γάζα) ὡς ὁ τῶν ἀρχομένων ἔρως

aut repositus thesaurus (gaza) atq; subditorum amor.

χπγ. Οὐκ οὖν ἀγγαρείαις ἂν, οὔτ' εἰσφοραῖς, οὔτ' ἀργυρολογίαις τρίβοιντο (τρύχοιντο) μᾶλλον δὲ δόσεσι καὶ ἐπιδόσεσι λαμπραῖς θέλγοιντο καὶ μειλίσσοιντο.

683. Angariis igitur, censibus, & exactionibus ne exhauriantur: congiariis potiùs, & donativis (donariis) demulceantur ac deliniantur.

χπδ. Ἀρκτέον τοῦ δήμου (λαοῦ, ὄχλου) ὧδε, ἵνα πείθεσθαι αὐτῷ ἀρέσκει (ἵνα πειθαρχῇ ἡδέως). ἀρχαὶ γὰρ βίαιαι, καὶ ὑπηρετήματα βιασθέντα, ἐπικίνδυνα.

684. Imperandum sic populo, ut illi parere lubeat: imperia, violenta & obseqvia coacta, periculosa sunt.

ΚΕΦΑΛΑΙΟΝ ΤΟ ἑξηκοστὸν ἕκτον.

CAPUT SEXAGESIMUM SEXTUM.

ΠΕΡΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΚΑΙ χώρας.

DE REGNO ET REGIONE.

χπε. Βασιλεία ἐστὶν, ἐν ᾗ τάξεις πολιτῶν ἐλεύθεραί εἰσι, τῷ τῶν διατεταγμένων δεσμῷ

685. Regnum est, ubi sunt liberi Civium status, statutorum

ἀλλήλαις καταδεδημέναι.	vinculô inter se colligati.
χπϛ. Ἐπὶ πράγμασι δυσχερέσιν ἀρχαιρεσίαι συγκαλοῦνται, ἀλλ᾽ ἐκ τῶν δυναστευόντων, ἀριστέων, πρωτευόντων, οἷον τῶν νομαρχῶν, καὶ δυναστῶν, καὶ τῆς ἱππάδος· οἱ δ᾽ ἄγροικοι οὐ παραγίνονται, ἀλλ᾽ ἐν ἀγρῷ ἀμφιπονοῦντες, τοῖς κωμάρχαις αὐτῶν ὑπακούουσιν. (ὑπήκοοί εἰσι, συμπεριφέρονται.)	686. In arduis negotiis concientur comitia, sed è proceribus, optimatibus, primatibus, veluti Comitibus, Baronibus (Dynastis) & Eqvestri Ordine: rustici non intersunt; ruri occupantur, & suis pagi magistris obsecundāt (morigeri sunt, morigerantur, obseqvuntur.)
